UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

### Demosthenes

### Aureliae Allobrogum, 1607

Adversus Macartatum de Hagniana hæreditate

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

## ARGVMENTVM ORATIONIS CONTRA Macartatum, de Hagniana hæreditate.

HAgnias & Eubulides consobrini fuerunt. Horum alter, Hagnias, obiit sine liberis. Eubulides autem filiam reliquit Philomacham, quæ agit in eam hæreditatem, vt genere proxima. cum ea litigant Glaucus quidam, & Glauco, non ratione propinquitatis, sed testamento freti: quod cum in iudicio adulterinum deprehensum esset, hæreditatem accipit Philomache. Theopompus venit in iudicium, assumptisque tum his ipsis qui causa ceciderant, tum præter hos Eupolemo, ad hæreditatis disceptationem arcessit Philomacham. Permittebat enim lex vnicuique in ius vocare victorem, & hæreditatis possessorem. Cum verò per fraudem concinnata esset actio, vt ait Sositheus: vincit Theopompus. ac is quidem obit, filio relicto Macartato. Philomachæ autem nascitur filius: eum nominat Eubulidem, & adoptandum dat patri suo Eubulidi, consobrino Hagniæ, qui reliquerat hæreditatem, eúmque adoptatum introducit ad Curiales Hagniæ & Eubulidis. quem Curiales, vt qui iure introduceretur, receperunt. His actis, puer ad disceptationem hæreditatis vocat Macartatum, Theopompi filium. orationem habet Sositheus, naturalis pueri pater.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΜΑκάρτατον περὶ ἀγνίου κλήρου λόγου.

Ἀγνίας καὶ Ἀβουλίδης ἦσαν ἀνεψιοί. τούτων ὁ ἀγνίας ἐτελεύτησεν ἄπαις. ὁ δὲ Ἀβουλίδης θυγατέρα κατέλιπε φιλομάχην, ἣ πρὸς ἐπιδικάζετο τὸν κλῆρον τὸν ἀγνίου, ὡς οὖσα ἐγγυτάτω τῷ γένει. ἠμφισβήτουν δ' αὐτῇ γλαύκος τις καὶ γλαύκων, οὐκ ἀγχιστεῖς γένους, ἀλλὰ διαθήκας ἰσχυριζόμενοι. ὧν ἐν τῷ δικαστηρίῳ ψευδῶν ἐλεγχθέντων, προσλαμβάνει τὸν κλῆρον ἡ φιλομάχη *. εἰσιὼν δ' ὁ Θεόπομπος αὐτοῖς τε τούτοις τοῖς ἡττωμένοις προσκαλεῖται τὸν Εὐπόλεμον, προσεκαλέσατο εἰς δίκην τὸν κλῆρον τῷ φιλομάχῃ. ἐξῆν γὰρ ὁ νόμος τῷ βουλομένῳ προσκαλεῖσθαι τὸν νενικηκότα, καὶ ἔχοντα τὸν κλῆρον. κατασκευαθείσης δὲ πρὸς ἀπάτην τῆς δίκης, ὡς φασι σωσίθεος, ἐνίκησεν ὁ Θεόπομπος. κἀκεῖνος μὲν ἐτελεύτησεν, ὑὸν καταλιπὼν μακάρτατον, τὴν δὲ φιλομάχην γήμας τις, ὃν ὠνόμασεν Ἀβουλίδην, καὶ εἰσεποίησεν υἱὸν Ἀβουλίδῃ τῷ ἑαυτῆς μὲν πατρί, ἀνεψιῷ δὲ ἀγνίου τοῦ τὸν κλῆρον καταλελοιπότος, εἰσποιήσασα δὲ εἰσήγαγεν εἰς τοὺς φράτορας τὸν Ἀβουλίδου καὶ ἀγνίου, καὶ οἱ φράτορες ἐψηφίσαντο, ὡς δικαίως εἰσαγόμενον. τούτων δὲ πραχθέντων ὁ παῖς εἰς δίκην τοῖς κλήρου προσκέκληται μακάρτατον, τὸν υἱὸν τοῦ Θεοπόμπου. καὶ λέγει τὸν λόγον σωσίθεος, ὁ φύσει πατὴρ τοῦ παιδός. B

## DEMOSTHENIS ADVERSVS MACARTATVM DE HAgniana hæreditate Oratio, Hieronymo Vvolfio interprete.

Perstringit auersariorũ fallacias & violentiã, qui hæreditatem vxori suæ extorserint.

QVVM prius etiam controuersiæ nobis fuerint, Iudices, cum istis iisdem de Hagniana hæreditate: neque vllum isti modum statuant iniquitati & violentiæ: dum quouis modo ea quæ ad se nihil attinent, obtineant: necesse fortassis est, rem omnẽ ab initio repetere. Sic enim, Iudices, & vos facilius omnia quæ dicentur, intelligetis: & isti quales homines sunt, tales esse ostendentur. Apparebit enim, eos iam olim auspicatos, minimè adhuc à suis malis artibus recedere: vt qui existiment, sibi quicquid in mentem inciderit, perficiendum esse. Oramus igitur vos, Iudices, vt nostram orationem cum beneuolentia & attentè ad finem vsque audiatis. Dabo autem & ego operam, vt rem quàm fieri perspicuè poterit, vos edoceam. Pueri huius mater, Iudices, cùm genere proxima esset Hagniæ, *Polemonis filio, in Hagniæ hæreditatẽ egit secundũ leges vestras: nec eorũ, qui tum de ea hæreditate contenderunt, se genere esse propiorem, vel iurare quisquam ausus fuit. Constabat enim inter omnes, mulieris esse hæreditatem ratione propinquitatis. Sed Glaucus Exæi filius, & Glauco frater eius, & Theopompus Macartati pater: qui illis earum rerum omnium & autor & adiutor fuit, & pleraque testimonia dixit: venerunt, falso testamento concinnato: quod quidem testamentum cum ab eis oblatum esset, inuentum est falsum. Neque illi succubuerunt solum: sed & cum summa improbitatis opinione è iudicio abierunt. Theopompus autem, Macartati pater, tum præsens, proclamãte præcone, nũquis agere in hæreditatẽ Hagniæ, aut sacramẽto contẽdere vellet, siue genere, siue ex testamento: contendere sacramẽto non est ausus: sed ipse pronũciauit, ad se nulla ratione pertinere Hagniæ hæreditatem. Quã cũ mater pueri huius iudicio, victis aduersariis omnib. teneret: ita nefarij fuerunt isti, vt neque in legibus vestris, neque in sen-

## ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΡΟΣ ΜΑΚΑΡΤΑτον περὶ τοῦ ἀγνίου κλήρου λόγος.

ΕΠΕΙΔΗ δεύτερον ἀγῶνες ἐλήχθησαν ἡμῖν, ὦ ἄνδρες δικασταί, πρὸς τοὺς αὐτοὺς τούτους περὶ τοῦ κλήρου τοῦ ἀγνίου, καὶ οὐδὲν παύονται παρανομοῦντες καὶ βιαζόμενοι, ὥστε ἐκ παντὸς τρόπου τὰ μὴ προσήκοντ' ἑαυτοῖς, ἔχειν· ἀνάγκη ἴσως ἐστὶ τὰ πραχθέντ' ἐξ ἀρχῆς διηγήσασθαι, ὑμεῖς τε γὰρ, ὦ ἄνδρες δικασταί, ῥᾴον παρακολουθήσετε ἅπασι τοῖς λεγομένοις. καὶ οὗτοι ὅπως ἐλεγχήσονται οἷοί εἰσιν ἄνθρωποι· καὶ ὅτι πάλαι ἤδη ἀρξάμενοι οὐδὲν παύονται κακοτεχνοῦντες· καὶ οἰόμενοι δεῖν διαφέρεσθαι ὅ, τι ἂν ἐπέλθῃ τούτοις. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, δικαίως ἀκοῦσαι τῶν λεγομένων, καὶ παρακολουθεῖν, προσέχοντας τὸν νοῦν. πειράσομαι δὲ κἀγὼ διδάσκειν ὑμᾶς, ὡς ἂν οἷός τ' ὦ, περὶ τῶν πεπραγμένων σαφέστατα. τουτουὶ γὰρ τοῦ παιδὸς ἡ μήτηρ, ὦ ἄνδρες δικασταί, γένει οὖσα ἐγγυτάτω ἀγνίᾳ * τοῦ ἐξοίου, ἐπεδικάσατο τοῦ κλήρου τοῦ ἀγνίου καὶ τοῖς νόμοις τοῖς ὑμετέροις. καὶ τότε ἀμφισβητησάντων αὐτῇ τοῦ κλήρου τουτοὶ, γένει μὲν ὡς ἐγγυτέρω τις ἐν αὐτῇ τῆς γυναικὸς, οὐδ' ἐπεχείρησεν οὐδ' αὐτομόσαι (ὡμολογεῖτο γὰρ ψευδῆ πάντα, τῆς γυναικὸς εἶναι ἡ κληρονομία καὶ τἀργυρεῖα) διαθήκας δὲ ψευδεῖς ἦκον κατασκευάσαντας γυναικός τε ὁ ἐξοίου, καὶ γλαύκων ὁ ἀδελφὸς αὐτοῦ, καὶ Θεόπομπος ὁ τουτουὶ πατὴρ μακαρτάτου, οἳς ἐκείνοις συγκατεσκεύαζεν ἅπαντα ταῦτα, καὶ ἐμαρτύρει τὰς πλείστας μαρτυρίας. αἱ δὲ διαθῆκαι, ἃς τότε παρέσχοντο, ἐξηλέγχθησαν ψευδεῖς οὖσαι. καὶ οὐ μόνον ἠττήθησαν, ἀλλὰ καὶ πονηρότατοι δόξαντες εἶναι, ἀπηλάθησαν ὑπὸ τοῦ δικαστηρίου. ὅτε δὴ μοι τότε Θεόπομπος ὁ τυγχάνει πατὴρ μακαρτάτου, καὶ τοῦ κήρυκος κηρύττοντος, εἴ τις ἀμφισβητεῖν ἢ ψευδῆ καταβάλλειν βούλεται τοῦ κλήρου τοῦ ἀγνίου, ἢ καὶ γένους, ἢ καὶ διαθήκας, οὐκ ἐβούλετο ψευδῆ καταβαλεῖν, ἀλλ' αὐτὸς ἑαυτῷ ἐδίκασεν, ὅτι οὐδαμόθεν αὐτῷ προσῆκεν οὐδὲν τοῦ κλήρου τοῦ ἀγνίου. ἐχούσης δὲ τῆς μητρὸς τοῦ παιδὸς τουτουὶ τὸν κλῆρον, ἐπειδὴ ἐνίκησεν ἐν τῷ δικαστηρίᾳ ἅπαντας τοὺς ἀμφισβητήσαντας ἑαυτῇ· οὗτος εἰσὶ μαροὶ οὗτοι, καὶ οὐκ οἴονται δεῖν οὔτε τοῖς νόμοις τοῖς ὑμετέροις πείθεσθαι, οὔτε τοῖς

C

τοῖς γνωσθεῖσιν ἐν τῷ δικαστηρίῳ, ἀλλὰ πάντα τρόπον ἐπιχειροῦντες ἀφελέσθαι πάλιν τὴν γυναῖκα τὸν κλῆρον, ὃν ὑμεῖς αὐτῇ ἐψηφίσασθε· ὥστε συνομόσαντες, καὶ συνθήκας γράψαντες πρὸς ἀλλήλους, καὶ καταθέμενοι παρὰ Μηδείῳ Ἀγνουσίῳ Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτάτου, καὶ Γλαύκων, καὶ Γλαῦκος ὁ ἡττηθεὶς τὸ πρότερον, καὶ ἕτερόν τινα τῶν ἐπιτηδείων τέταρτον προσλαβόντες, Εὐπόλεμος ἦν αὐτῷ ὄνομα· οὗτοι ἅπαντες κοινῇ ἐπιβουλεύσαντες* προσεκαλέσαντο τὴν γυναῖκα πρὸς τὸν ἄρχοντα εἰς διαδικασίαν τοῦ κλήρου τοῦ Ἁγνίου, φάσκοντες τὸν νόμον κελεύειν* παρὰ τοῦ ἐπιδεδικασμένου καὶ ἔχοντος τὸν κλῆρον προσκαλεῖσθαι, ἐάν τις βούληται ἀμφισβητεῖν. καὶ ἐπειδὴ ἦγεν ὁ ἄρχων εἰς τὸ δικαστήριον, καὶ ἔδει ἀγωνίζεσθαι, τά τε ἄλλα ἦν αὐτοῖς ἅπαντα παρεσκευασμένα εἰς τὸν ἀγῶνα, καὶ τὸ ὕδωρ πρὸς ὃ ἔδει ἀγωνίζεσθαι, τετραπλάσιον ὑμῶν ἔλαβον. ἐξ ἀνάγκης γὰρ ἦν, ὦ ἄνδρες δικασταί, τῷ ἄρχοντι, ἀμφορέα ἑκάστῳ ἐγχέαι τῶν ἀμφισβητούντων, καὶ τρεῖς χοᾶς τῷ ὑστέρῳ λόγῳ. ὥστε συνέβαινεν ἐμοὶ τῷ ὑπὲρ τῆς γυναικὸς ἀγωνιζομένῳ, μὴ ὅτι περὶ τοῦ γένους καὶ τῶν ἄλλων, ὧν μοι προσῆκεν, διηγήσασθαι τοῖς δικασταῖς ὡς ἐγὼ ἐβουλόμην, ἀλλ' οὐδ' ἀπολογήσασθαί μοι ἐξεγένετο οὐδὲ πολλοστὸν μέρος, ὧν κατεψεύδοντο ἡμῶν. πέμπτον γὰρ μέρος εἶχον τοῦ ὕδατος. καὶ τὸ σόφισμα ἦν τοῦτο, αὐτοὺς μὲν ἑαυτοῖς συναγωνίζεσθαι, καὶ ὁμολογεῖν ἅπαντα, περὶ ἡμῶν δὲ λέγειν τὰ οὐδεπώποτε γενόμενα. καὶ τοῦτον τὸν τρόπον ἐπιβουλευσάντων καὶ συναγωνιζομένων ἀλλήλοις ἐφ' ἡμᾶς, καὶ δίσκων* τεττάρων τεθέντων κατὰ τὸν νόμον· εἰκότως, οἶμαι, οἱ δικασταὶ ἐξηπατήθησαν, καὶ ἐστασίασαν ἀλλήλοις. καὶ παρακρουσθέντες ὑπὸ τῆς παρασκευῆς, ἐψηφίζοντο ὅ, τι τύχοι ἕκαστος. καὶ αἱ ψῆφοι ὀλίγαις πάνυ ἐγένοντο πλείους, ἢ τρισίν, ἢ τέτταρσιν ἐν τῷ Θεοπόμπου δίσκῳ, ἢ ἐν τῷ τῆς γυναικός. καὶ τότε μὲν ταῦτα ἦν τὰ πραχθέντα, ὦ ἄνδρες δικασταί. ἐπειδὴ δ' οὑτοσὶ ὁ παῖς ἐγένετο, καὶ ἐδόκει καιρὸς εἶναι, οὐκ ὀργισθεὶς ἐγὼ τοῖς γενομένοις, ἀλλ' ἡγούμενος εἰκός τι παθεῖν τοὺς τότε δικάζοντας, εἰσήγαγον εἰς τοὺς φράτορας τοὺς τοῦ* Ἁγνίου Εὐβουλίδου τὸν παῖδα τουτουὶ ἐκ τῆς θυγατρὸς ὄντα τῆς ἐκείνου, ἵνα μὴ ἐξερημωθῇ ὁ οἶκος. ἐκεῖνος γάρ, ὦ ἄνδρες δικασταί, ὁ Εὐβουλίδης, ὁ τῷ Ἁγνίᾳ γένει ὢν ἐγγυτάτω, μάλιστα μὲν εὔχετο τοῖς θεοῖς υἱὸν αὐτῷ γενέσθαι, ὥσπερ καὶ ἡ θυγάτηρ ἡ τουτουὶ μήτηρ τοῦ παιδὸς αὐτῷ ἐγένετο. ἐπειδὴ δὲ τούτου ἀπέτυχε, καὶ οὐκ ἐγένετο ἄρρην παῖς αὐτῷ οὐδὲ εἷς, μετὰ ταῦτ' ἤδη ἐσπούδαζεν ὅπως ἐκ τῆς θυγατρὸς εἰσποιηθῇ αὐτῷ υἱὸς εἰς τὸν οἶκον τὸν ἑαυτοῦ, καὶ τὸν Ἁγνίου, καὶ εἰς τοὺς φράτορας εἰσαχθῇ τοὺς ἐκείνου, ἡγούμενος, ὦ ἄνδρες δικασταί, ἐκ τῶν ὑπολοίπων τοῦτον εἶναι ἑαυτῷ οἰκειότατον· καὶ οὕτως ἂν μάλιστα τὸν οἶκον τὸν ἑαυτοῦ διασώζεσθαι, καὶ οὐκ ἂν ἐξερημωθῆναι. καὶ ἐγὼ ταῦτα ὑπηρέτησ' αὐτῷ, ὁ τὴν Εὐβουλίδου θυγατέρα ἔχων, ἐπιδικασάμενος ὡς γένει ὢν ἐγγυτάτω. καὶ εἰσήγαγον τὸν παῖδα τουτονὶ εἰς τοὺς Ἁγνίου καὶ Εὐβουλίδου φράτορας, μεθ' ὧν καὶ Θεόπομπος ὁ τουτουὶ πατὴρ Μακαρτάτου, ἕως ἔζη, ἐφρατρίαζε, καὶ αὐτὸς οὗτος. καὶ οἱ φράτορες, ὦ ἄνδρες δικασταί, οἱ τουτουὶ Μακαρτάτου, οἱ ἄριστα εἰδότες περὶ τοῦ γένους, ὁρῶντες αὐτὸν μὲν τοῦτον οὐκ ἐθέλοντα κινδυνεύειν, οὐδ' ἀπάγοντα τὸ ἱερεῖον ἀπὸ τοῦ βωμοῦ εἰ μὴ προσηκόντως εἰσήγετο ὁ παῖς οὑτοσί, αὐτοὺς δ' ἀξιοῦντα ἐπιορκεῖν. λαβόντες τὴν ψῆφον, καιομένων τῶν ἱερείων, ἀπὸ τοῦ βωμοῦ φέροντες τοῦ Διὸς τοῦ Φρατρίου, παρόντος τουτουὶ Μακαρτάτου, ἐψηφίσαντο τὰ δίκαια, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ προσηκόντως, τὸν παῖδα τουτονὶ εἰσάγεσθαι Εὐβουλίδῃ υἱὸν εἰς τὸν οἶκον τοῦ Ἁγνίου. ψηφισαμένων δὲ ταῦτα τῶν φρατέρων τουτουὶ Μακαρτάτου. υἱὸς ὢν Εὐβουλίδου ὁ παῖς οὑτοσί,* προσεκαλέσατο Μακάρτατον τοῦ κλήρου τοῦ Ἁγνίου εἰς διαδικασίαν,

tentiis iudicum acquiescendum sibi esse putarint: sed quo iure qua iniuria mulieri rursus eripere hæreditatem, quam ei vos addixeratis, instituerint. Itaque coniuratione facta, & fœdere inter se icto, eoque apud Medeum Hagnusium deposito: Theopompus Macartati pater, & Glauco, & Glaucus prius victus: alio quodam familiarium quarto adhibito (Eupolemus ei nomen erat) hi omnes communiter insidiati, citarunt mulierem ad prætorem, ad disceptationem Hagnianæ hæreditatis: lege fieri, quæ iuberet eum qui adiisset hæreditatem, & teneret, citari: si quis in eandem agere vellet. Hos vbi prætor in iudicium duxit, & causa agenda fuit: tum alia eis omnia præparata fuerunt ac iudicium: tum aquæ ad quam disceptandum erat, quadruplo plus nobis acceperunt. Necesse enim, Iudices, habebat prætor amphoram vnicuique accusatorum infundere: & tres choas posteriori orationi. Proinde fiebat, vt ego, mulieris defensor, non modò de genere & cæteris quæ dicenda erant, iudicibus meo arbitratu narrare non possem: sed ne minimam quidem mendaciorum, quæ in nos cõgesserant, partem refutare. quintam enim aquæ partem habebam. Atque id artificium illud fuit, vt ipsi inter se colluderent, ac mutuas traderẽt operas, omniáque confiterentur: de nobis autem ea dicerent, quæ numquam facta sunt. Cùm igitur ad eum modum insidias struxissent, & coniunctis viribus nos oppugnarẽt, discis* quatuor ex lege positis: iudices, quod equidem non miror, decepti, inter sese dissenserunt, atque illis artificiis seducti, id pronunciarunt, quod vnicuique in buccam venerat: calculique paucis omnino plures, vel tribus, vel quatuor, in Theopompi disco, quàm in mulieris, sunt inuenti. Ac tum hæc acta fuerunt, Iudices. Posteaquam autem hoc puero nato tempus esse videbatur: ego nõ iratus ob ea quæ acciderant, sed humanum quiddam accidisse ratus illius temporis iudicibus: introduxi ad Curiales Eubulidæ Eubulidem puerum hunc, eius filia natum: vt ne eius familia desolaretur. Is enim Eubulides, Iudices, Hagniæ genere proximus, in primis quidem exoptabat à diis, sibi nasci filium, quemadmodum ei & filia, pueri huius mater, nata erat. Cum aut eo voto frustratus, mares liberos nullos omnino suscepisset: iam secundo loco cupiebat, è filia sibi adoptari filium, in suam & Hagniæ familiam, & ad suos Curiales introduci: quòd existimabat, Iudices, è reliquis hunc sibi esse coniunctissimum, & sic suam familiam rectissimè conseruari, & ab interitu vindicari. In quo ego ei obsecutus vt qui Eubulidæ filiam haberem, iudicio adeptus, tanquam genere proximus: introduxi puerum hunc ad Hagniæ & Eubulidis Curiales: in quorum & Theopompus, dum vixit, Macartati pater, curia fuit, atque iste ipse. Curiales porrò Macartati, optimè gnari generis, quum viderent, istum quidem ipsum fugitare periculum, neque victimam ab ara abducere, quasi puer hic non legitimè introduceretur, postulare autem vt ipsi peierarent: calculis, de ara Curialis Iouis, dum sacra arderent: desumptis, præsente Macartato, id quod iustum erat, decreuerunt, Iudices, rectè & conuenienter puerum huc Eubulidę filium in Hagnię familiam introduci. Quibus per Curiales Macartati decretis, hic puer vt filius Eubulidis, citauit Macartatum de Hagnię hęreditate, in iudicium,

Puero in Hagnię familiã adoptato, actio in Macartatum instituta.

& diem dixit apud prætorem, autore adſcripto fratre ſuo. Mihi enim, Iudices, porrò non licebat autorem fieri, qui puerum in Eubulidæ familiam adoptaſſem: Atque ea citatio facta eſt à puero hoc ex eadem lege, qua freti & iſti matrem huius, quæ prius iudicio vicerat, & hæreditatem Hagniæ tenebat, acceſſierant. Recita mihi legem, qua actio in eum datur, qui hæreditatem tenet.

## LEX.

Sin de adita contendat hæreditate, aut pupilla: citet eum qui hæreditatem tenet ad prætorem, quemadmodum fit in aliis cauſis. ſacramento autem contendat petitor. Sin ſine citatione petierit: imperfecta erit petitio hæreditatis. Sin is qui hæreditatem adiit, ſuperſtes non fuerit, arceſſat ſimili ratione eum, cui præſtitum tempus nondum eſt terminatum: * diſceptatio autem apud prætorem eſto ea ratione, qua is egit, qui hæreditatem tenet. Legem quidem audiuiſti. Iuſtam autem rem à vobis petam, Iudices: ſi oſtendero, Theopompo patre Macartati, genere eſſe Hagniæ propiorem Eubulidem puerum hunc, & Philomacham quæ eſt mater pueri, Eubulidæ filia: neque tantùm eſſe genere proximos: ſed in vniuerſum, ne vllum quidem eſſe hominem in familia Hagniæ alium, quàm matrem pueri huius: & ipſum hunc puerum: hæc ſi oſtendero, quæſo vt nobis opem feratis. Ac primùm quidem decreueram, Iudices, in tabula deſcriptos omnes agnatos & gentiles Hagniæ, ſic vobis oſtendere ſingulos. ſed quia eam non ex æquo ſpectare poſſe omnes iudices, remotius præſertim ſedentes, videbantur. neceſſarium fortaſſis. eſt, oratione docere vos, quæ res communis eſt omnibus. Conabimur autem & nos, quàm facere breuiſſimè poterimus, explicare genus Hagniæ. Buſelus, fuit Exæi filius. is quinque filios ſuſcepit, Hagniam, Eubulidem, Stratium, Habronem, & Cleocritum. hi omnes Buſeli filij, viri facti ſunt: inter quos omnes Buſelus facultates ſuas rectè & iuſtè, vt conueniebat, diſtribuit.

Series generis, ius propinquitatis nomẽ pueri Theopõpi mẽdacium, & victoria Philomaches

Partiti facultates, vxorem quiſque duxit, vt leges veſtræ iubent: & filij nati ſunt eis omnibus & nepotes: factæque ſunt ex vnica Buſeli, quinque familiæ: & ſeorſim quiſque habitauit, ſuam quiſque domum habuit, & ſobolem procreauit. De tribus igitur fratribus, Buſeli filiis, eorúmque poſteris, Iudices, quid ego vobis negotium faceſſam, & mihi ipſi, de ſingulis memorãdo? Cum.n. in eodem ſint genere cũ Theopõpo, & õẽs æquè Hagniã attingãt, cui⁹ eſt hæreditas: nullus eorum neque prius vnquã, neq. nũc moleſtus nobis fuit, aut litẽ mouit: neq. vel de hæreditate Hagniæ, vel de muliere pupilla, quã ego habeo, in iudicio nobiſcũ cõtẽdit: ſed exiſtimarũt, nihil prorſus ad ſe attinere quicquid eſſet Hagniæ. Superuacaneũ igitur mihi eſſe videtur quicquã de his dicere: niſi quatenus attingendum erit. De Theopompo autem Macartati patre, & ipſo Macartato, de his eſt mihi neceſſariò dicendum. Res autẽ. Iudices, paucis expediri poteſt. Vt paulo antè audiuiſtis, Buſelo quinq. filios fuiſſe natos: horũ vnus fuit Stratius, à quo Macartatus oriũdus eſt: & alter Hagnias, à quo puer hic originẽ ducit. Natus aũt eſt filius Hagniæ Polemo, & filia Philomache, ſoror Polemonis germana & vterina. Stratio, Hagnię fratre, nati, ſũt Phanoſtrate & Chari-

A καὶ ἔλαχε πρὸς τὸν ἄρχοντα, κύριον ἐπιγραψάμενος τὸν ἀδελφὸν τὸν ἑαυτοῦ. ἐμοὶ γὰρ οὐκέτι οἷόν τ' ἦν, ὦ ἄνδρες δικασταί, κυρίῳ ἐπιγεγράφθαι, εἰσπεποιηκότι τὸν παῖδα εἰς τὸν οἶκον τὸν εὐβουλίδου. καὶ ἡ πρόσκλησις ἐγένετο τῷ παιδὶ τούτῳ κατὰ τὸν νόμον, καθ' ὅνπερ καὶ οὗτοι προσεκαλέσαντο τὴν τουτουῒ μητέρα, τὴν νενικηκυῖαν πρότερον ἐν τῷ δικαστηρίῳ, καὶ ἔχουσαν τὸν κλῆρον τοῦ ἁγνίου. καί μοι ἀνάγνωθι τὸν νόμον καθ' ὃν ἡ πρόσκλησίς ἐστι παρὰ τοῦ ἔχοντος τὸν κλῆρον. Νόμος.

Ἐὰν δ' ἐπιδεδικασμένου ἀμφισβητῇ τοῦ κλήρου, ἢ τῆς ἐπικλήρου,* προσκαλείσθω τὸν ἐπιδεδικασμένον πρὸς τὸν ἄρχοντα, καθάπερ ἐπὶ τῶν ἄλλων δικῶν· παρακαταβολὰς δ' εἶναι τῷ ἀμφισβητοῦντι. ἐὰν δὲ μὴ *προσκαλεσάμενος ἐπιδικάσηται, ἀτελὴς ἔσται ἡ ἐπιδικασία τοῦ κλήρου. ἐὰν δὲ μὴ ζῇ ὁ ἐπιδικασάμενος τοῦ κλήρου, προσκαλείσθω κατὰ ταὐτά, ὧν ἡ προθεσμία μήπω ἐξήκει, τὴν B δ' ἀμφισβήτησιν εἶναι * τῷ ἄρχοντι, καθότι ἐπεδικάσατο, οὗ ἂν ἔχῃ τὰ χρήματα. τοῦ μὲν νόμου ἀκηκόατε. δέομαι δ' ὑμῶν δικαίαν δέησιν, ὦ ἄνδρες δικασταί. ἐὰν γὰρ ἐπιδείξω, θεοπόμπου τοῦ πατρὸς τοῦ μακαρτάτου γένει ὄντας ἁγνίᾳ ἐγγυτέρω εὐβουλίδην τὸν παῖδα τουτονὶ καὶ φιλομάχην, ἥ ἐστι μήτηρ τῷ παιδὶ, εὐβουλίδου δὲ θυγάτηρ, καὶ οὐ μόνον γένει ἐγγυτάτω ὄντας, ἀλλὰ καὶ τὸ παράπαν οὐδ' ὄντα οὐδένα ἄνθρωπον ἐν τῷ οἴκῳ τῷ ἁγνίου ἄλλον, ἢ τὴν μητέρα τοῦ παιδὸς τουτουῒ καὶ αὐτὸν τουτονὶ τὸν παῖδα. ταῦτ' ἐὰν ἐπιδείξω, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταί, βοηθῆσαι ἡμῖν. τὸ μὲν οὖν πρῶτον διενοήθην, ὦ ἄνδρες δικασταί, γράψας ἐν πίνακι ἅπαντας τοὺς συγγενεῖς τοὺς ἁγνίου, οὕτως ἐπιδεικνύειν ὑμῖν καθ' ἕκαστον. ἐπειδὴ δ' ἐδόκει οὐκ εἶναι ἐξ ἴσου ἡ θεωρία ἅπασι τοῖς δικασταῖς, ἀλλ' οἱ πόρρω καθήμενοι ἀπολείπεσθαι, ἀναγκαῖον ἴσως ἐστὶ τῷ λόγῳ δι- C δάσκειν ὑμᾶς. τοῦτο γὰρ ἅπασι κοινόν ἐστι. πειρασόμεθα δὲ καὶ ἡμεῖς, ὡς ἂν μάλιστα δυνώμεθα, διὰ βραχυτάτων ἐπιδεῖξαι περὶ τοῦ γένους τοῦ ἁγνίου. βούσηλος γὰρ ἦν ἐξοίου, ὦ ἄνδρες δικασταί, καὶ τούτῳ ἐγένοντο πέντε υἱεῖς, ἁγνίας, καὶ εὐβουλίδης, καὶ στράτιος, καὶ ἅβρων, καὶ κλεόκριτος. καὶ οὗτοι ἅπαντες οἱ τοῦ βουσήλου υἱεῖς ἄνδρες ἐγένοντο, καὶ διένειμεν αὐτοῖς τὴν οὐσίαν ὁ πατὴρ βούσηλος ἅπασι, καλῶς καὶ δικαίως, ὥσπερ προσῆκε. νειμάμενοι δὲ τὴν οὐσίαν, γυναῖκα ἕκαστος αὐτῶν ἔγημεν κατὰ τοὺς νόμους τοὺς ὑμετέρους· καὶ παῖδες ἐγένοντο αὐτοῖς ἅπασι, καὶ παίδων παῖδες. καὶ ἐγένοντο πέντε οἶκοι ἐκ τοῦ βουσήλου οἴκου, ἑνὸς ὄντος· καὶ χωρὶς ἕκαστος ᾤκει, τὸν ἑαυτοῦ ἔχων, καὶ ἐκγόνους ἑαυτοῦ ποιούμενος. περὶ μὲν οὖν τῶν τριῶν ἀδελφῶν τῶν τοῦ βουσήλου υἱέων, καὶ τῶν ἐκγόνων τῶν τούτοις γενομένων, τί ἂν ἐγὼ ὑμῖν, ὦ ἄνδρες δικασταί, πράγματα παρέχοιμι, ἢ ἐμαυτῷ, ἐξηγούμενος περὶ ἑκάστου; ὄντες γὰρ ἐν ταὐτῷ γένει θεοπόμπῳ, καὶ προσήκοντες ὁμοίως τῷ ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆρος, οὐδεὶς αὐτῶν οὔτε πρότερον πώποτε, οὔτε νῦν ἠνώχλησεν ἡμῖν οὔτ' ἠμφισβήτησεν, οὔτε τοῦ ἁγνίου, οὔτε τῆς γυναικὸς τῆς ἐπικλήρου, ἣν ἐγὼ ἔχω, ἐπιδικασάμενος, ἡγούμενοι οὐδ' ὁπωσοῦν προσήκειν ἑαυτοῖς οὐδενὸς τῶν ἁγνίου. περίεργον δή μοι δοκεῖ εἶναι λέγειν τι περὶ τούτων, πλὴν ὅσα ἐξ ἀνάγκης ἐστὶν ἐπιμνησθῆναι. περὶ δὲ θεοπόμπου τοῦ πατρὸς τοῦ μακαρτάτου, καὶ αὐτοῦ τουτουῒ μακαρτάτου, περὶ τούτων μοι ἐστὶν ἐξ ἀνάγκης λέγειν. ἔστι δὲ βραχὺς ὁ λόγος, ὦ ἄνδρες δικασταί, ὥσπερ γὰρ ὀλίγον τι πρότερον ἀκηκόατε, ὅτι τῷ βουσήλῳ πέντε υἱεῖς ἐγένοντο, τούτων εἷς ἦν στράτιος ὁ τουτουῒ πρόγονος μακαρτάτου, καὶ ἕτερος ἁγνίας ὁ τουτουῒ πρόγονος τοῦ παιδός. ἐγένετο δὲ υἱὸς τῷ ἁγνίᾳ πολέμων, καὶ θυγάτηρ φιλομάχη ἀδελφὴ τοῦ πολέμωνος ὁμοπατρία καὶ ὁμομητρία. τοῦ δὲ στρατίου ἐγένοντο τοῦ ἀδελφοῦ

τῇ

A τοῦ ἁγνίου, φανοστράτη καὶ χαρίδημος, ὁ τούτου πάππος μακαρτάτου. ἐρωτῶ δὴ ὑμᾶς, ὦ ἄνδρες δικασταί, πότερος οἰκειότερός ἐστι καὶ προσήκει μᾶλλον τῷ ἁγνίᾳ, ὁ υἱὸς ὁ πολέμων καὶ θυγάτηρ ἡ φιλομάχη, ἢ χαρίδημος ὁ υἱὸς στρατίου, ἀδελφιδοῦς δ' ἁγνίου; ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸν υἱὸν καὶ τὴν θυγατέρα οἰκειότατον εἶναι ἑκάστῳ ἡμῶν μᾶλλον, ἢ τὸν ἀδελφιδοῦν. καὶ οὐ μόνον παρ' ἡμῖν τοῦτο νενόμισται, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἅπασι καὶ ἕλλησι καὶ βαρβάροις. ἐπειδὴ τοίνυν τοῦθ' ὁμολογεῖται, ῥᾳδίως ἤδη τοῖς ἄλλοις, ὦ ἄνδρες δικασταί, παρακολουθήσετε, καὶ αἰσθήσεσθε τούτους, ὅτι εἰσὶ βίαιοι καὶ ἀσελγεῖς ἄνθρωποι. τοῦ πολέμωνος γὰρ, τοῦ υἱέος τοῦ ἁγνίου, ἐγένετο υἱὸς ἁγνίας τοῦ πάππου τοῦ ἑαυτοῦ, ὄνομ' ἔχων τοῦ ἁγνίου. καὶ οὗτος μὲν ἄπαις ἐτελεύτησεν ὁ ἁγνίας ὁ ὕστερος. τῆς φιλομάχης δὲ τῆς ἀδελφῆς τῆς πολέμωνος καὶ φιλάγρου, ᾧ ἔδωκεν αὐτὴν ὁ ἀδελφὸς πολέμων, ἀνεψιῷ ὄντι ἑαυτοῦ (ὁ γὰρ φίλαγρος,* ἀδελφὸς ἦν εὐβουλίδου τοῦ ἀδελφοῦ τοῦ ἁγνίου) τοῦ δὴ φιλάγρου τοῦ ἀνεψιοῦ τοῦ πολέμωνος ἐγένετο υἱὸς εὐβουλίδης, ὁ πατὴρ τῆς μητρὸς τουτουῒ τοῦ παιδός. καὶ οὗτοι μὲν υἱεῖς ἐγένοντο τῷ πολέμωνι, καὶ τῇ ἀδελφῇ τῇ πολέμωνος φιλομάχῃ. τοῦ δὲ χαριδήμου ἐγένετο τοῦ υἱέος τοῦ στρατίου θεόπομπος, ὁ τουτουῒ πατὴρ μακαρτάτου. πάλιν δὴ ἐρωτῶ, ὦ ἄνδρες δικασταί, πότερος ὁ οἰκειότερός ἐστι, καὶ προσήκει μᾶλλον ἁγνίᾳ τῷ πρώτῳ ἐκείνῳ, ὁ πολέμωνος υἱὸς ἁγνίας καὶ εὐβουλίδης ὁ φιλομάχης υἱὸς καὶ φιλάγρου, ἢ θεόπομπος ὁ χαριδήμου υἱὸς, στρατίου δὲ υἱιδοῦς; ἐγὼ μὲν γὰρ οἶμαι, ὦ ἄνδρες δικασταί, εἴπερ καὶ ὁ υἱὸς οἰκειότατός ἐστι καὶ ἡ θυγάτηρ, πάλιν ὁ υἱιδοῦς καὶ ὁ ἐκ τῆς θυγατρὸς υἱὸς, οὗτοι οἰκειότεροί εἰσι μᾶλλον, ἢ ὁ τοῦ ἀδελφιδοῦ υἱὸς, καὶ ὁ ἐξ ἑτέρου ὢν οἴκου. τῷ μὲν οὖν θεοπόμπῳ ἐγένετο υἱὸς μακάρτατος οὑτοσί· τῷ δὲ εὐβουλίδῃ τῷ τῆς φιλομάχης υἱεῖ, ἀνεψιῷ δ' ἁγνίου ὄντι πρὸς πατρὸς * εὐβουλίδου ἀνεψιοῦ παῖς ὢν ἁγνίᾳ πρὸς πατρὸς οὑτοσὶ ὁ παῖς. ἐπειδὴ ἡ φιλομάχη ἡ μήτηρ ἡ εὐβουλίδου, καὶ ὁ πολέμων ὁ πατὴρ ὁ ἁγνίου, ἀδελφοὶ ἦσαν ὁμοπάτριοι καὶ ὁμομήτριοι. τῷ δέ γε μακαρτάτῳ τῳδὶ, τῷ υἱεῖ τῷ θεοπόμπου, οὐκ ἐγένετο ἔκγονον, ὅ,τι ἐστὶν ἐν τῷ οἴκῳ τῷ τούτου καὶ τῷ στρατίου. τούτων δὲ οὕτως ἐχόντων, τῷ μὲν παιδὶ τούτῳ ἐστὶν ὄνομα τῶν ἐν τῷ νόμῳ εἰρημένων, καὶ μέχρι ὧν ὁ νόμος κελεύει τὴν ἀγχιστείαν εἶναι. ἀνεψιοῦ γὰρ ἁγνίου παῖς ἐστιν. ὁ γὰρ πατὴρ αὐτοῦ εὐβουλίδης ἀνεψιὸς ἦν ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆρος. ὁ δέ γε θεόπομπος ὁ τουτουῒ πατὴρ μακαρτάτου, οὐκ ἂν εἶχεν ὄνομα θέσθαι αὑτῷ τῶν ἐν τῷ νόμῳ εἰρημένων οὐδέν. ἐξ ἑτέρου γὰρ οἴκου ἦν τοῦ στρατίου. οὐ προσήκει δὲ, ὦ ἄνδρες δικασταί, οὐδένα ἄνθρωπον τὸν κλῆρον ἔχειν, τὸν ἁγνίου, ἐξ ἑτέρου οἴκου ὄντα, ἕως ἄν τις λείπηται τῶν γενομένων ἐν τῷ οἴκῳ τῷ ἁγνίου, οὐδ' ἐκβάλλειν βίᾳ. ὅπερ οὗτοι διαπράττονται, γένει τε ἀπωτέρω ὄντες, καὶ οὐκ ἐν τῷ αὐτῷ οἴκῳ. τοῦτο γάρ ἐστιν, ὦ ἄνδρες δικασταί, ὃ παρεκρούσατο θεόπομπος ὁ τουτουῒ πατὴρ μακαρτάτου. τίνες οὖν εἰσὶ λοιποὶ οἱ ἔτι ὄντες ἐν τῷ οἴκῳ τῷ ἁγνίου; φιλομάχη τε ἡ ἐμὴ γυνὴ εὐβουλίδου δὲ θυγάτηρ οὖσα τοῦ ἀνεψιοῦ τοῦ ἁγνίου, καὶ οὑτοσὶ ὁ παῖς, ὁ εἰσηγμένος υἱὸς εἰς τὸν οἶκον τὸν εὐβουλίδου καὶ ἁγνίου. θεόπομπος δ' ὁ τουτουῒ πατὴρ μακαρτάτου, οὐκ ὢν τοῦ οἴκου τοῦ ἁγνίου ἐψεύσατο πρὸς τοὺς δικαστὰς ὑπερμέγεθες ψεῦδος περί τε τῆς φιλομάχης τῆς τοῦ πολέμωνος ἀδελφῆς, τιτθίδος δ' ἁγνίου, ὅτι οὐκ εἴη τῷ πολέμωνι τῷ τοῦ ἁγνίου υἱεῖ ὁμοπατρία καὶ ὁμομητρία ἀδελφὴ, καὶ πάλιν προσποιούμενος τοῦ αὐτοῦ οἴκου εἶναι ἁγνίᾳ, οὐδὲ πώποτε γενόμενος. ταῦτα δὲ πάντ' ἀδεῶς ἔλεγεν ὁ θεόπομπος, μάρτυρα μὲν οὐδένα παρεχόμενος, ὅστις ἔμελλεν ὑπεύθυνος ἡμῖν ἔσεσθαι. συνομολογοῦντας δὲ αὐτῷ ἔχων τοὺς κοινωνοὺς οἳ ἦσαν ἀλλήλοις συναγωνισταί. καὶ δὴ ἅπαντα ἔπραττον κοινῇ, ὅπως ἀφέλωνται τὴν γυναῖκα, τὴν τουτουῒ μητέρα τοῦ παιδός,

demus Macartati auus. E vobis igitur quæro, Iudices, vter coniunctior ſit & propior Hagniæ? is Polemo filius, & filia Philomache: an Charidemus Stratij filius, Hagniæ ex fratre nepos? Ego quidem certè opinor, filium & filiam vnicuique noſtrûm longè coniũctiorem eſſe, quàm fratris ſororiſve filium. Neque apud nos ſolum: ſed etiam apud cæteros tum Græcos tum Barbaros hoc receptum eſt. Quod cũ in confeſſo ſit: facilè iam cætera intelligetis: & iſtos homines eſſe violentos & proteruos, ſentietis. Polemonis enim Hagniç filij, filius fuit Hagnias, eodem cum auo ſuo Hagnia nomine: & is quidem poſterior Hagnias ſine liberis deceſſit. Philomache autem, ſororis Polemonis, & Philagri, cui dedit eam frater Polemo, quippe patrueli ſuo (Philager enim * filius fuit Eubulidæ, fratris Hagniæ) Philagri igitur, patruelis Polemonis, filius fuit Eubulides, maternus huius pueri. Et hi liberi fuerunt Polemoni, & ſororis Polemonis Philomachæ. E Charidemo aũt natus eſt Stratij filio, Theopõpus, pater Macartati. Denuò igitur quæro, Iudices, vter coniũctior ſit & propior Hagniæ primo illi: Pole- B monis filius Hagnias, & Eubulides, Philomachę filius, & Philagri: an Theopompus Charidemi filius, Stratij nepos? Ego exiſtimo, Iudices, ſi quidem ſ & filius multò coniunctior eſt, & filia: rurſus è filio, & è filia natum filium, hos eſſe coniunctiores, quàm nepotis è fratre filium, & eum qui eſt ex alia familia. Ac Theopompo filius Macartatus. Eubulidæ autem Philomachę filio, * qui reſpectu patris Philagri, Hagniæ patruelis fuit, puer hic natus eſt, Hagniæ coniunctus, vt filius patruelis fratris: quoniam Philomache, mater Eubulidæ, & Polemo pater Hagnię fratres fuerunt, germani & vterini. Macartato autem, filio Theopompi, nihil genitum eſt, quòd ſi in familia huius & Stratij. Quæ cum ita ſint: puero huic nomen eſt ex eorum numero, quę legibus iubentur, & quatenus lex propinquitatem extendi iubet. conſobrini enim Hagnię filius eſt. Pater enim eius Eubulides, cõſobrinus fuit Hagnię, cuius eſt hereditas. At Theopompus, pa- C ter Macartati, nullum ei nomen lege ſancitum imponere potuiſſet. ex alia enim fuit Stratiana familia. Neque verò conuenit, Iudices, vt quiſquam mortalium, qui ſit ex alia familia, Hagnię hæreditatem habeat dum aliquis ſuperfuerit in Hagniana familia natus: aut vi quemquam inde eiiciat: id quod iſti agunt, cũ ſint & genere remotiores, & nõ in eadẽ familia. Hoc enim illud eſt, iudices, quo Theopompus Macartati pater, fucum iudicibus fecit. Quinam igitur reſtant, qui adhuc ſint in Hagnię familia? Philomache vxor mea, Eubulidæ autem filia, patruelis Hagnię: & hic puer introductus filius in familiam Eubulideam & Hagnianam, Theopompus autẽ Macartati pater, cùm ex Hagnię familia non eſſet, ingenti mendacio decepit iudices, & de Philomacha Polemonis ſorore, amita Hagnię, quam negaret eſſe Polemonis, Hagnię filij germanam & vterinam ſororem: & rurſus cùm iactaret, ſe eſſe Hagnię gẽtilẽ, qui nunquã fuit. Hęc verò Theopõpus ſecurè omnia dicebat: nullo quidem teſte adhibito, qui nobis in iudicio rationem redderet: ſed quòd aſſeſſores habebat ſocios, qui mutuas tradebant operas, atque adeò communi conſilio agebant omnia, vt eriperẽt à muliere, huius pueri matre

hæreditatem, quam ei vos decreueratis. Volo igitur, Iudices, eorum quæ dixi apud vos testimonia proferre, vt constet, primùm euicisse hæreditatem Hagniæ, Eubulidæ filiam, Philomacham, genere proximam: pòst de cęteris omnibus. Lege testimonium.

TESTIMONIVM.

Testantur se affuisse apud arbitrum, Nicophemo prætore cum euicerit Philomache, Eubulidæ filia, hęreditatem Hagniæ, contra omnes qui ei controuersiam faciebant. Ac euicisse Philomacham, Eubulidæ filiam, hæreditatem Hagniæ, audistis Iudices. Euicit autem, nullo improbo conatu, aut coniuratione: sed cum nos quàm fieri iustissimè potest, ostendissemus, eam esse genere proximam Hagniæ, cuius est hæreditas: quippe quæ sit patruelis filia, & è familia Hagniæ. Si Macartatus igitur dixerit, patrem suum Theopompum euicisse hæreditatem hanc: vos ei Iudices respondete, mulierem, eandem euicisse hęreditatem, prius etiã quã Theopompũ Macartati patrem: & iustè euicisse mulierem, vt quæ esset è familia Hagniæ, Eubulidę filia, patruelis Hagnię: Theopompum autem non euicisse, sed decepisse: vt qui ex Hagnię familia omnino nõ esset. Hęc vos ei, Iudices, respondete: atque illud etiam, puerum hunc Eubulidem, Eubulidę filium, Hagniæ, cuius est hęreditas, patrueli genitum, nec à Theopompo, Macartati patre, neque ab vllo mortalium vnquam esse victum: & nunc controuersiam & iudicium esse de hæreditate Hagniæ, huic Eubulidæ filio & Macartato isti, filio Theopõpi: quorũ vter ęquiora dicere, & legib. magis consentanea videbitur: ei nimirum vos, Iudices, assentiemini. Lege reliqua testimonia: primũm, Philomachã, Hagniæ amitam, sororem fuisse germanam & vterinam Polemonis Hagniæ patris. Deinde cætera omnia recitabuntur de genere.

TESTIMONIVM.

Testantur se populares esse Philagri, Eubulidæ patris & Polemonis Hagniæ patris, & scire, Philomacham Eubulidæ matrem, habitam sororem esse Polemonis, patris Hagniæ, germanam & vterinam: neque ex vllo vnquam audiuisse, fuisse fratrem aliquem Polemoni Hagniæ filio.

ALIVD.

Testantur, Oenantham, matrem aui sui Stratonidæ,* Polemonis patris, Hagniæ, patruelem sororem fuisse: seq. audisse è patre suo, Polemoni patri Hagnię nullum vnquã fuisse fratrẽ: sed sororem fuisse Philomacham, germanam & vterinam, matrem Eubulidæ, patris Philomaches, quæ Sositheo nupsit.

ALIVD.

Testatur se cognatum esse & Curialem, & popularem Hagniæ & Eubulidæ: & audisse de patre suo, & cæteris cognatis, nullum fuisse fratrem Polemoni Hagniæ patri: sed sororem germanam & vterinam Philomacham matrem Eubulidæ patris Philomachæ, quæ Sositheo nupsit.

ALIVD.

Testatur auum suum esse Archilochum, ab eóq. se adoptatum esse, cognato Polemonis, patris Hagniæ: & audisse de Archilocho & cæteris cognatis, nullum vnquam fuisse fratrem Polemoni patri Ha-

A τὸν κλῆρον, ὃν αὐτῇ ὑμεῖς ἐψηφίσασθε. βούλομαι οὖν, ὦ ἄνδρες δικασταὶ, περὶ ὧν εἴρηκα πρὸς ὑμᾶς, μαρτυρίας παρασχέσθαι· πρῶτον μὲν, ὡς ἐνίκησε τοῦ κλήρου τοῦ ἁγνίου ἡ εὐβουλίδου θυγάτηρ φυλομάχη, γένει οὖσα ἐγγυτάτω, ἔπειτα περὶ τῶν ἄλλων ἁπάντων. ἀναγίνωσκε τὴν μαρτυρίαν.

Μαρτυρία.

Μαρτυροῦσι παρεῖναι πρὸς τῷ διαιτητῇ, ἐπὶ νικοφήμου ἄρχοντος, ὅτι ἐνίκησε φυλομάχη ἡ εὐβουλίδου θυγάτηρ, τοῦ κλήρου τοῦ ἁγνίου τοὺς ἀμφισβητοῦντας αὐτῇ πάντας. ὅτι μὲν ἐνίκησε φυλομάχη, ἡ εὐβουλίδου θυγάτηρ τοῦ κλήρου τοῦ ἁγνίου, ἀκηκόατε, ὦ ἄνδρες δικασταὶ, καὶ αὕτη ἐνίκησεν οὐδεμιᾷ παρασκευῇ ἀδίκῳ, οὐδὲ συνωμοσίᾳ. ἀλλ᾽ ὡς οἷόν τε δικαιότατα ἐπιδειξάντων ἡμῶν, ὅτι γένει ἐγγυτάτω ἦν ἁγνίᾳ, οὗ ἐστιν ὁ κλῆρος, ἀνεψιοῦ παῖς οὖσα πρὸς πατρὸς, καὶ ἐκ τοῦ οἴκου οὖσα τοῦ ἁγνίου. ἐπειδὰν οὖν λέγῃ μακάρτατος, ὅτι ἐνίκησεν ὁ πατὴρ
B αὐτοῦ θεόπομπος τοῦ κλήρου τούτου. ὑποβάλλετε αὐτῷ ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, ὅτι καὶ ἡ γυνὴ ἐνίκησε πρότερον ἢ θεόπομπος ὁ τουτουὶ πατήρ. καὶ ὅτι δικαίως ἐνίκησεν ἡ γυνὴ, ἐκ τοῦ οἴκου οὖσα τοῦ ἁγνίου, εὐβουλίδου θυγάτηρ οὖσα, τοῦ ἀνεψιοῦ τοῦ ἁγνίου. ὁ δὲ θεόπομπος ὅτι οὐκ ἐνίκησεν, ἀλλὰ παρεκρούσατο, οὐκ ὢν ἐκ τοῦ οἴκου τὸ παράπαν τοῦ ἁγνίου. ταῦτα αὐτῷ ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, * ὑποβάλλετε καὶ ὅτι τὸν παῖδα τουτονὶ εὐβουλίδην, τὸν εὐβουλίδου υἱὸν, ἁγνίου δ᾽ οὗ ἐστιν ὁ κλῆρος ἀνεψιοῦ παῖδα πρὸς πατρὸς, οὔτε θεόπομπος ὁ μακαρτάτου πατὴρ, οὔτ᾽ ἄλλος οὐδεὶς πώποτε ἀνθρώπων ἐνίκησε. νυνὶ δ᾽ ἐστὶν ὁ ἀγὼν καὶ διαδικασία περὶ τοῦ κλήρου τοῦ ἁγνίου τῷ εὐβουλίδῃ υἱεῖ τουτῳ, καὶ μακαρτάτῳ τουτῳ τῷ θεοπόμπου υἱεῖ. καὶ ὁπότερος τούτων δικαιότερα λέγειν δόξει, καὶ κατὰ τοὺς νόμους μᾶλλον, δῆλον ὅτι τούτῳ ὑμεῖς οἱ δικασταὶ προσθήσεσθε. ἀναγίγνωσκε τὰς μαρτυρίας τὰς ὑπολοίπους· πρῶτον μὲν ὅτι ἡ φυλομάχη ἡ τοῦ ἁγνίου τηθὶς, ἀδελφὴ ἦν ὁμοπατρία καὶ ὁμομητρία τῷ πολέμωνι τῷ ἁγνίου πατρί. ἔπειτα τὰς ἄλλας ἁπάσας ἀνα-
C γνώσεται περὶ τοῦ γένους.

Μαρτυρία.

Μαρτυροῦσι δημόται εἶναι φιλάγρῳ τῷ εὐβουλίδου πατρὶ καὶ πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου. καὶ εἰδέναι φυλομάχην τὴν μητέρα τὴν εὐβουλίδου, νομιζομένην ἀδελφὴν εἶναι πολέμωνος τοῦ πατρὸς τοῦ ἁγνίου ὁμοπατρίαν καὶ ὁμομητρίαν, καὶ μηδενὸς πώποτ᾽ ἀκοῦσαι, ὡς γένοιτο* ἀδελφὸς πολέμωνι τῷ ἁγνίου.

Ἄλλη.

Μαρτυροῦσιν οἰνάνθην τὴν μητέρα τοῦ πάππου τοῦ ἑαυτῶν στρατωνίδου ἀνεψιὰν εἶναι ἐκ πατραδέλφων πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν, ὅτι πολέμωνι ἀδελφὸς οὐδεὶς γένοιτο πώποτε τῷ πατρὶ τῷ ἁγνίου. ἀδελφὴ δὲ φυλομάχη ὁμοπατρία καὶ ὁμομητρία, ἡ μήτηρ ἡ εὐβουλίδου τοῦ πατρὸς τῆς φυλομάχης τῆς σωσιθέου γυναικός.

Ἄλλη.

Μαρτυρεῖ συγγενὴς εἶναι καὶ φράτωρ, καὶ δημότης ἁγνίᾳ καὶ εὐβουλίδῃ, καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν, καὶ τῶν ἄλλων συγγενῶν, ὅτι ἀδελφὸς οὐδεὶς ἐγένετο τῷ πολέμωνι τῷ πατρὶ ἁγνίου. ἀδελφὴ δ᾽ ὁμοπατρία καὶ ὁμομητρία φυλομάχη ἡ μήτηρ ἡ εὐβουλίδου, τοῦ πατρὸς φυλομάχης, τῆς σωσιθέου γυναικός.

Ἄλλη.

Μαρτυρεῖ πάππον εἶναι ἑαυτοῦ ἀρχίλοχον, καὶ ποιήσασθαι ἑαυτὸν υἱὸν, καὶ εἶναι αὐτὸν συγγενῆ πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου. καὶ ἀκούειν ἀρχιλόχου, καὶ τῶν ἄλλων συγγενῶν, ὅτι ἀδελφὸς οὐδεὶς πώποτ᾽ ἐγένετο πολέμωνι τῷ πατρὶ

πατρὶ τοῦ ἁγνίου· ἀδελφὴ δὲ ὁμοπατρία καὶ ὁμομητρία, φιλομάχη, ἡ μήτηρ ἡ εὐβουλίδου, τοῦ πατρὸς τῆς φιλομάχης, τῆς σωσιθέου γυναικός.

Ἄλλη.

Μαρτυρεῖ τὸν πατέρα τῆς ἑαυτοῦ γυναικὸς καλλίστρατον, ἀνεψιὸν εἶναι ἐκ πατραδέλφων πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου, καὶ χαριδήμῳ τῷ πατρὶ τῷ θεοπόμπου. τὴν δὲ μητέρα τὴν ἑαυτοῦ ἀνεψιοῦ παῖδα εἶναι πολέμωνι· καὶ λέγειν τὴν μητέρα τὴν αὑτοῦ πρὸς αὐτὸν πολλάκις, ὅτι φιλομάχη ἡ μήτηρ ἡ εὐβουλίδου, ἀδελφὴ ἦν πολέμωνος τοῦ πατρὸς τοῦ ἁγνίου ὁμοπατρία καὶ ὁμομητρία. καὶ ὅτι ἀδελφὸς οὐδεὶς πώποτε γένοιτο πολέμωνι τῷ πατρὶ τῷ ἁγνίου. τὸ πρότερον. ὦ ἄνδρες δικασταί, ὅτε συνώμοσαν ἀλλήλοις οὗτοι, καὶ συστάντες ἠγωνίζοντο, πολλοὶ ὄντες, πρὸς τὴν γυναῖκα. ἡμεῖς μὲν, ὦ ἄνδρες δικασταί, οὔτε μαρτυρίας ἐγραψάμεθα περὶ τῶν ὁμολογουμένων, οὔτε μάρτυρας* προσεκαλεσάμεθα· ἀλλ᾽ ᾠόμεθα, ταῦτά γε ἀδεῶς ὑπάρχειν ἡμῖν. οὗτοι δὲ τά τε ἄλλα πολλὰ καὶ ἀναίσχυντα παρεσκευάσαντο εἰς τὸν ἀγῶνα. καὶ ἔμελεν αὐτοῖς οὐδενὸς πλὴν τοῦ ἐξαπατῆσαι ἐν τῷ τότε παρόντι καιρῷ τοὺς δικαστάς, οἵτινες* κατεχρῶντο, ὡς τῷ πολέμωνι τῷ πατρὶ τοῦ ἁγνίου παράπαν οὐδεμία γένοιτο ἀδελφὴ ὁμοπατρία, καὶ ὁμομητρία. οὕτως ἦσαν ἀναίσχυντοι καὶ βδελυροί, τηλικοῦτον πρᾶγμα παρακρουόμενοι τοὺς δικαστάς, καὶ οὕτω περιφανῶς καὶ ἐσπούδαζον, καὶ ἠγωνίζοντο περὶ τούτου μάλιστα. ἡμεῖς δέ γε νυνὶ μάρτυρας ὑμῖν τοσουτουσὶ παρεχόμεθα περὶ τῆς πολέμωνος ἀδελφῆς, τηθίδος δὲ ἁγνίου. τούτῳ δὲ ὁ βουλόμενος μαρτυρησάτω, ἢ ὡς οὐκ ἦσαν ἀδελφοὶ ὁμοπάτριοι καὶ ὁμομήτριοι πολέμων καὶ φιλομάχη· ἢ ὅτι οὐκ ἦν ὁ μὲν πολέμων υἱὸς, ἡ δὲ φιλομάχη ἀδελφὴ ἁγνίου τοῦ βουσέλου υἱέως· ἢ ὅτι ὁ μὲν πολέμων οὐκ ἦν πατὴρ ἁγνίου οὗ ἐστιν ὁ κλῆρος· οὐδὲ ἡ ἀδελφὴ ἡ πολέμωνος φιλομάχη τηθὶς, ἢ ὡς ὁ εὐβουλίδης οὐκ ἦν φιλομάχης υἱὸς, οὐδὲ φιλάγρου τοῦ ἀνεψιοῦ ἁγνίου· ἢ ἐκεῖνο, ὅτι εὐβουλίδου τοῦ ἀνεψιοῦ τοῦ ἁγνίου οὐκ ἔστι θυγάτηρ φιλομάχη ἡ νυνὶ ἔτι οὖσα· οὐδὲ υἱὸς οὑτοσὶ ὁ παῖς εἰσπεποιημένος κατὰ τοὺς νόμους τοὺς ὑμετέρους εἰς τὸν εὐβουλίδου οἶκον· ἢ ὡς ὁ θεόπομπος ὁ τουτουὶ πατὴρ μακαρτάτου, ἐκ τοῦ οἴκου ἦν τοῦ ἁγνίου. τούτων ὅ, τι βούλεταί τις μαρτυρησάτω αὐτῷ. ἀλλ᾽ εὖ οἶδ᾽ ὅτι οὐδεὶς οὕτω τολμηρὸς ἔσται, οὐδ᾽ ἀπονενοημένος ἄνθρωπος. ὡς δὲ καταφανὲς ὑμῖν ἔσται, ὦ ἄνδρες δικασταί, ὅτι τὸ πρότερον ἀναισχυντοῦντες περιεγένοντο, δίκαιον δ᾽ οὐδὲν λέγον, ἀναγίνωσκε τὰς μαρτυρίας, ὅσαι εἰσὶν ἔτι ὑπόλοιποι.

| | | | | |
|---|---|---|---|---|
| Πατὴρ, καὶ υἱός, | πολέμων / ἁγνίας | Ἀδελφοὶ | καὶ φιλομάχη, / καὶ εὐβουλίδης, | μήτηρ. καὶ υἱός. |

Μαρτυρία.

Μαρτυρεῖ συγγενὴς εἶναι πολέμωνι τῷ ἁγνίου πατρί. καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτοῦ, ἀνεψιοὺς εἶναι ἐκ πατραδέλφων πολέμωνι φίλαγρόν τε τὸν εὐβουλίδου πατέρα, καὶ φανοστράτην τὴν στρατίου θυγατέρα, καὶ* καλλίστρατον τὸν πατέρα τῆς σωσιθέου* γυναικός, καὶ εὐκτήμονα τὸν βασιλεύσαντα καὶ χαρίδημον τὸν πατέρα τὸν θεοπόμπου καὶ στρατοκλέους· καὶ εἶναι τοῖς* τούτου υἱέσι, καὶ ἁγνίᾳ, ἐν τῷ αὐτῷ γένει εὐβουλίδην κατὰ τὸν πατέρα τὸν ἑαυτοῦ, φίλαγρον κατὰ δὲ τὴν μητέρα τὴν ἑαυτοῦ φιλομάχην, νομιζόμενον ἀνεψιὸν εἶναι εὐβουλίδην ἁγνίᾳ* πρὸς πατρὸς ἐκ τηθίδος γεγονότα ἁγνίᾳ τῆς πρὸς πατρός.

Ἄλλη.

Μαρτυροῦσι συγγενεῖς εἶναι πολέμωνι τῷ πατρὶ τῷ ἁγνίου, καὶ φιλάγρῳ τῷ πατρὶ τῷ εὐβουλίδου, καὶ εὐκτήμονι τῷ βασιλεύσαντι· καὶ εἰδέναι εὐκτήμονα ἀδελφὸν ὄντα ὁμοπάτριον φιλάγρῳ τῷ πατρὶ τῷ εὐβουλίδου.

A gniæ: ſed ſororem fuiſſe germanam & vterinam Philomacham, matrem Eubulidæ, patris Philomaches, Soſithei vxoris.

ALIVD.

Teſtatur patrem ſuæ vxoris Calliſtratum fratrem patruelem fuiſſe Polemonis patris Hagniæ, & Charidemi patris Theopompi: matrem verò ſuam *ſobrinam eſſe Polemonis: quæ ſæpe ad ſe dixerit, Philomacham, matrem Eubulidæ, ſororem fuiſſe Polemonis, patris Hagniæ, germanam & vterinam: neque vllum vnquam fuiſſe fratrem Polemoni, Hagniæ patri. Priore actione, Iudices, cum coniuraſſent iſti inter ſe, coniunctiſq́ copiis multi vnam mulierem oppugnarent: nos, Iudices, neque teſtimonia ſcripſimus de rebus confeſſis, neque teſtes citauimus: ſed putauimus, hæc nobis in tuto eſſe collocata, iſti autem & alia multa impudenter ad iudicium compararant: neque quicquam aliud, eo quidem tempore, curabant, quàm, vt B iudices in præſentia fallerent, cùm quidem hoc mendacio abuterentur: Polemoni Hagniæ patri omnino nullam fuiſſe ſororem germanam & vterinam. Adeò erant impudentes & væcordes, vt tanta in re deciperent iudices, itáque manifeſtè: & in hoc, magno ſtudio ſummáque contentione incumbebant. Nos autem vobis nunc tot teſtes adduximus de ſorore Polemonis, Hagniæ amita. Iſti verò teſtetur qui volet, aut non fuiſſe fratres germanos, & vterinos, Polemonem & Philomacham: aut non fuiſſe Polemonem filium, Philomacham autem filiam Hagniæ, Buſeli filij: aut Polemonem non fuiſſe patrem Hagniç, huius eſt hęreditas: neque ſororem Polemonis Philomacham, eiuſdem amitam: aut Eubulidem non fuiſſe Philomachæ filium, & Philagri patruelis Hagniæ: aut illud, Eubulidæ patruelis Hagnię filiam non eſſe, quę adhuc ſuperſtes eſt, Philomacham: neque puerum hunc legibus veſtris adoptatum in Eubulidæ familiam: aut Theopompum Macartati patrem, ex familia fuiſſe Hagniæ: horum quicquid libitum erit, teſtetur aliquis. ſed ſatis ſcio neminem ita audacem futurum, aut deploratę fidei hominem. Vt autem perſpicuum vobis ſit, Iudices, eos prius per calumniam fuiſſe ſupe- C riores, neque quicquam æqui attuliſſe: lege teſtimonia quæ adhuc ſunt reliqua.

Opponit ſua teſtimonia Theopõpi teſtimoniis.

| | | | | |
|---|---|---|---|---|
| Pater & filius | Polemon / Hagnias | fratres patrueles | & Philomache / & Eubulides | Mater & filius. |

TESTIMONIA.

Teſtatur ſe cognatum eſse Polemoni Hagniæ patri, & audiſse è patre ſuo, fratres fuiſse patrueles Polemonis, Philagrum Eubulidæ patrem, & Phanoſtratam Stratij filiam, & Calliſtratum, patrem matris Soſithei, & Euctemonem, eum qui regno functus eſt, & Charidemum patrem Theopompi, & Stratoclis: & eſse cum huius filiis & Hagnia in eodem genere Eubulidem, à patre ſuo Philagro. Sin mater eius Philomacha ſpectatur: Eubulidem Hagniæ patruelem exiſtimari: ex amita ortum Hagniæ.

ALIVD.

Teſtantur ſe cognatos eſse Polemoni patri Hagnię, & Philagro patri Eubulidę, & Euctemoni regno fũcto: & ſcire Euctemonẽ fuiſſe fratrẽ Philagri patris Eubulidę:

eodem patre natum, & cùm Eubulidæ disceptatio esset de hæreditate Hagniæ instituta, adhuc superstitem fuisse Euctemonem, fratrem patruelem Polemonis, patris Hagniæ: neque contendisse Euctemonem cum Eubulide de hæreditate Hagniæ: neque tum alium quenquam ratione propinquitatis.

ALIVD.

Testantur patrem suum Stratonem, cognatum fuisse Polemoni, patri Hagniæ, & Charidemo patri Theopompi, & Philagro patri Eubulidæ: & audisse è patre suo, Philagrum duxisse vxorem primam Philomacham, sororem Polemonis patris Hagniæ, eodem & patre & matre ortam: & natum esse Philagro è Philomacha Eubulidem: defuncta Philomacha, vxorem aliam duxisse Philagrum Telesippam: & natum esse Menestheum fratrem Eubulidæ, patre quidem eodẽ, sed matre non eadem: & cùm Eubulides hæreditatem Hagniæ petiisset ratione generis: eandem neque Menestheum petiisse, neque Euctemonem fratrem Philagri: neque alium quenquam ratione generis contendisse tum cum Eubulide.

ALIVD.

Testatur patrem suum Archimachum cognatum fuisse Polemoni patri Hagniæ, & Charidemo patri Theopompi, & Philagro patri Eubulidæ: seq. è patre suo audisse, Philagrum duxisse vxorem, primam Philomacham, sororem Polemonis, eodem patre & matre ortam: ac natum esse è Philomacha Eubulidem. Philomacha autem defuncta, aliam duxisse vxorem Philagrum, Telesippam: & natum esse Philagro è Telesippa Menestheum, fratrem Eubulidæ, patre quidẽ eodem, sed matre non eadem. Qui Eubulides cùm hæreditatem Hagniæ, ratione generis, peteret: neque Menestheum tum fecisse Eubulidæ controuersiam de hæreditate: nec Euctemonem fratrem Philagri: nec alium quenquam ratione generis.

ALIVD.

Testatur auum suum maternum Callistratum fratrem fuisse Euctemonis, regno functi, & Philagri Eubulidæ patris. Eos autem patrueles fuisse Polemonis, patris Hagniæ, & Charidemi, patris Theopõpi: seq; audisse è matre sua, fratrem non fuisse Polemoni patri Hagniæ: sororem fuisse, natam eodem & patre & matre, Philomachã. Eam Philomchã nupsisse Philagro, & ex eis esse natum Eubulidem, patrem Philomachæ, Sosithei vxoris. Hæc testimonia recitãda necessariò fuere, Iudices, vt ne idem nobis accideret, quod prius, cùm imparati oppressi sumus. Multò autem euidentius etiam contra se testimonium dicet Macartatus: patri suo Theopompo nihil omnino deberi ex Hagniæ hæreditate: cum sit remotior genere Theopompus: atque adeò nec ex eadem familia prorsus. Si quis enim sciscitetur, Iudices, Iste quis est, qui cum puero hoc de Hagniæ hęreditate litigat? satis vos scio responsuros, Macartatum: quo patre genitus? Theopompo. qua matre? Apolexide filia * Prospaltij, sorore Macartati Prospaltij. Theopompus cuius fuit patris? Charidemi. Charidemus cuius? Stratij. Stratius cuius? Buseli. Hæc est, Iudices, Stratij familia, vnius Buseli filiorum: & posteri Stratij sunt hi quos audiuistis: neque his vllum vsquam nomen est eorum qui sunt ex Hagniana familia, ac ne consimile quidem.

Collatio genealgiç Macartati & Eubulidis pueri.

A καὶ ὁπότε ἡ ἐπιδικασία ἦν τοῦ κλήρου τοῦ Ἁγνίου Εὐβουλίδῃ, προσηκλαίουσα ἔτι ζῆν Εὐκτήμονα ἐκ πατραδέλφων, ἀδελφὸν ὄντα Πολέμωνι τῷ πατρὶ Ἁγνίου, καὶ μὴ ἀμφισβητῆσαι Εὐκτήμονα Εὐβουλίδῃ τοῦ κλήρου τοῦ Ἁγνίου, μηδ' ἄλλον μηδένα κατὰ γένος τότε.

Ἄλλη.

Μαρτυροῦσι τὸν πατέρα τὸν ἑαυτῶν Στράτωνα, συγγενῆ εἶναι Πολέμωνι, τῷ πατρὶ τῷ Ἁγνίου, καὶ Χαριδήμῳ, τῷ πατρὶ τῷ Θεοπόμπου, καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου· καὶ ἀκούειν τοῦ ἑαυτῶν πατρὸς, ὅτι Φίλαγρος λάβοι γυναῖκα πρώτην μὲν Φιλομάχην, ἀδελφὴν Πολέμωνος, τοῦ πατρὸς τοῦ Ἁγνίου, ὁμοπατρίαν καὶ ὁμομητρίαν, καὶ γενέσθαι Φιλάγρῳ ἐκ μὲν Φιλομάχης Εὐβουλίδην· ἀποθανούσης δὲ Φιλομάχης, ἑτέραν λαβεῖν γυναῖκα Φίλαγρον Τελεσίππην· καὶ γενέσθαι ὁμοπάτριον μὲν ἀδελφὸν Εὐβουλίδῃ Μενεσθέα, ὁμομήτριον δὲ μή. καὶ Εὐβουλίδου ἀμφισβητήσαντος τοῦ κλήρου τοῦ Ἁγνίου κατὰ γένος, B Μενεσθέα μὴ ἀμφισβητῆσαι τοῦ κλήρου τοῦ Ἁγνίου, μηδ' Εὐκτήμονα τὸν ἀδελφὸν τὸν Φιλάγρου, μηδ' ἄλλον μηδένα κατὰ γένος πρὸς Εὐβουλίδην τότε.

Ἄλλη.

Μαρτυρεῖ τὸν πατέρα τὸν ἑαυτοῦ Ἀρχίμαχον συγγενῆ εἶναι Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου, καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου, καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου· καὶ ἀκούειν τοῦ πατρὸς τοῦ ἑαυτῶν, ὅτι Φίλαγρος λάβοι γυναῖκα πρώτην μὲν Φιλομάχην, ἀδελφὴν Πολέμωνος τοῦ πατρὸς τοῦ Ἁγνίου ὁμοπατρίαν, καὶ ὁμομητρίαν, καὶ γενέσθαι ἐκ μὲν Φιλομάχης Εὐβουλίδην. ἀποθανούσης δὲ Φιλομάχης, ἑτέραν λαβεῖν γυναῖκα Φίλαγρον Τελεσίππην. καὶ γενέσθαι Φιλάγρῳ ἐκ Τελεσίππης Μενεσθέα, ὁμοπάτριον μὲν ἀδελφὸν Εὐβουλίδῃ, ὁμομήτριον δὲ μή· ἀμφισβητήσαντος δὲ τοῦ Ἁγνίου κατὰ γένος Μενεσθέα C μὴ ἀμφισβητῆσαι τοῦ κλήρου, μηδ' Εὐκτήμονα τὸν ἀδελφὸν Φιλάγρου, μηδ' ἄλλον μηδένα κατὰ γένος πρὸς Εὐβουλίδην τότε.

Ἄλλη.

Μαρτυρεῖ τὸν πατέρα τὸν ἑαυτοῦ μητρὸς Καλλίστρατον ἀδελφὸν εἶναι Εὐκτήμονι τῷ βασιλεύσαντι, καὶ Φιλάγρῳ τῷ πατρὶ τῷ Εὐβουλίδου, ἀνεψιοὺς δ' εἶναι τούτους Πολέμωνι τῷ πατρὶ τῷ Ἁγνίου, καὶ Χαριδήμῳ τῷ πατρὶ τῷ Θεοπόμπου· καὶ ἀκούειν τῆς μητρὸς τῆς ἑαυτοῦ, ὅτι ἀδελφὸς οὐ γένοιτο Πολέμωνι τῷ πατρὶ Ἁγνίου, ἀδελφὴ δὲ γένοιτο ὁμοπατρία καὶ ὁμομητρία Φιλομάχη· καὶ ταύτην λάβοι τὴν Φιλομάχην Φίλαγρος. καὶ γένοιτο ἐξ αὐτῶν Εὐβουλίδης ὁ πατὴρ ὁ Φιλομάχης, τῆς Σωσιθέου γυναικός. Ἀναγνῶναι μὲν τὰς μαρτυρίας ταύτας ἐξ ἀνάγκης ἦν, ὦ ἄνδρες δικασταί, ἵνα μὴ τὸ αὐτὸ πάθοιμεν, ὅπερ τὸ πρότερον, ἀπαράσκευοι ληφθέντες ὑπὸ τούτων· πολὺ δὲ σαφέστερον ἔτι αὐτὸς ἑαυτοῦ Μακάρτατος οὑτοσὶ καταμαρτυρήσει, ὅτι οὔτε Θεοπόμπῳ τῷ πατρὶ τῷ ἑαυτοῦ προσήκει οὐδενὸς κληρονομεῖν τῶν Ἁγνίου, γένει ἀπωτέρω ὄντος τοῦ Θεοπόμπου, καὶ οὐκ ἐκ τοῦ αὐτοῦ οἴκου ὄντος τὸ παράπαν. εἰ γάρ τις ἀνακρίνοι, ὦ ἄνδρες δικασταί, ὅστις ἐστὶν ὁ ἀμφισβητῶν τῷ παιδὶ τούτῳ τοῦ κλήρου τοῦ Ἁγνίου; εὖ οἶδ' ὅτι ἀποκρίναιτ' ἂν ὅτι Μακάρτατος. τίνος ὢν πατρός; Θεοπόμπου. μητρὸς δὲ τίνος; Ἀποληξίδος, θυγατρὸς * Προσπαλτίου, ἀδελφῆς δὲ Μακαρτάτου Προσπαλτίου. ὁ δὲ Θεόπομπος τίνος ἦν * πατρός; Χαριδήμου. Χαρίδημος τίνος; Στρατίου. ὁ δὲ Στράτιος τίνος; Βουσέλου. οὑτοσὶ, ὦ ἄνδρες δικασταί, ἐστὶν ὁ Στρατίου οἶκος, ἑνὸς τῶν Βουσέλου υἱέων· καὶ ἔκγονοι οὗτοί εἰσι Στρατίου, οὓς ὑμεῖς ἀκηκόατε· καὶ ἐνταῦθα οὐδαμοῦ ἐστὶν οὐδὲν ὄνομα τῶν ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου· ἀλλ' οὐδὲ παραπλήσιον

πάλιν

πάλιν δὴ ἀνακρίνω τὸν παῖδα τουτονὶ τίς ὢν ἀμφισβητεῖ μακαρτάτῳ τοῦ κλήρου τοῦ ἁγνίου, οὐκ ἂν ἔχοι, ὦ ἄνδρες δικασταί, ἀλλ' οὐδ' ὁτιοῦν ἀποκρίνασθαι ὁ παῖς, ἢ ὅτι εὐβουλίδης τίνος ὢν πατρός; εὐβουλίδου τοῦ ἁγνίου ἀνεψιοῦ. μητρὸς δὲ τίνος; φιλομάχης ἣ ἦν ἁγνίᾳ ἀνεψιοῦ παῖς πρὸς πατρός. ὁ εὐβουλίδης δὲ τίνος ἦν πατρός; φιλάγρου τοῦ ἀνεψιοῦ τοῦ ἁγνίου. μητρὸς δὲ τίνος; φιλομάχης τῆς τηθίδος τοῦ ἁγνίου. ὁ δ' ἁγνίας τίνος ἦν υἱός; πολέμωνος. ὁ δὲ πολέμων τίνος; ἁγνίου· ὁ δ' ἁγνίας τίνος; βουσέλου. οὑτοσὶ ἕτερός ἐστιν οἶκος ἁγνίου, ἑνὸς τῶν βουσέλου υἱέων καὶ ἐνταῦθ' οὐδ' ὁτιοῦν ἔνεστι τὸ αὐτὸ ὄνομα τῶν ἐν τῷ στρατίου οἴκῳ ὄντων ἐκγόνων, ἀλλ' οὐδὲ παραπλήσιον. ἀλλ' αὐτοὶ δι' ἑαυτῶν πορεύονται ἐν τῷ οἴκῳ τῷ ἁγνίου, τὰ ὀνόματα παρ' ἀλλήλων παραλαμβάνοντες. πανταχῇ δὴ καὶ πάντα τρόπον ἐξελέγχονται ἐξ ἑτέρου οἴκου, καὶ ἀπωτέρω γένει ὄντες, καὶ οὐ προσῆκον αὐτοῖς κληρονομεῖν οὐδενὸς τῶν ἁγνίου. οἷς γὰρ ὁ νομοθέτης δίδωσι τὴν ἀγχιστείαν, καὶ τὴν κληρονομίαν. τούτους ἀναγνώσεται ὑμῖν τοὺς νόμους. Νόμος.

Ὅς τις ἂν διαθέμενος ἀποθάνῃ, ἐὰν μὲν παῖδας καταλίπῃ θηλείας, * σὺν ταύτῃσι· ἐὰν δὲ μή, τούσδε κυρίους εἶναι τῶν χρημάτων. ἐὰν δ' ἀδελφοὶ ὦσιν ὁμοπάτορες, καὶ ἐὰν παῖδες ἐξ ἀδελφῶν γνήσιοι, τὴν τοῦ πατρὸς μοῖραν λαγχάνειν. ἐὰν δὲ μὴ ἀδελφοὶ ὦσιν, ἢ ἀδελφῶν παῖδες, ἐξ αὐτῶν κατὰ ταὐτὰ λαγχάνειν· κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, ἐὰν ἐκ τῶν αὐτῶν ὦσι, καὶ ἐὰν γένει ἀπωτέρω. ἐὰν δὲ μὴ ὦσι πρὸς πατρὸς μέχρι ἀνεψιαδῶν παίδων, * τοὺς πρὸς μητρὸς τοῦ ἀνδρὸς κατὰ ταὐτὰ κυρίους εἶναι. ἐὰν δὲ μηδ' ἑτέρωθεν * ᾖ ἐντὸς τούτων, τὸν πρὸς πατρὸς ἐγγυτάτω κύριον εἶναι. νόθῳ δὲ μηδὲ νόθῃ μὴ εἶναι ἀγχιστείαν, μήτε ἱερῶν, μήθ' ὁσίων * ἀπ' εὐκλείδου ἄρχοντος. διαρρήδην λέγει ὁ νόμος, ὦ ἄνδρες δικασταί, οἷς δεῖ τὴν κληρονομίαν εἶναι. οὐ μὰ Δί' οὐ θεοπόμπῳ, οὐδὲ μακαρτάτῳ τῷ θεοπόμπου υἱεῖ, τοῖς μηδὲ παράπαν οὖσιν ἐν τῷ οἴκῳ τῷ ἁγνίου. ἀλλὰ τίνι δίδωσι; τοῖς ἐκγόνοις τοῖς ἁγνίου, τοῖς οὖσιν ἐν τῷ οἴκῳ τῷ ἁγνίου ἐκείνου. ταῦτα καὶ ὁ νόμος λέγει, καὶ τὸ δίκαιον οὕτως ἔχει. οὐ τοίνυν, ὦ ἄνδρες δικασταί, ταῦτα μὲν ἔδωκεν ὁ νομοθέτης τοῖς προσήκουσιν, ἕτερα δ' οὐ προσέταξε πολλὰ πάνυ ἐν τῷ νόμῳ, ἃ δεῖ ποιεῖν τοὺς προσήκοντας ἐπάναγκες· ἀλλὰ πάνυ πολλά ἐστιν, ἃ προστάττει ποιεῖν τοῖς προσήκουσι, καὶ πρόφασιν οὐδεμίαν δίδωσιν· ἀλλ' ἐξ ἀνάγκης δεῖ ποιεῖν. μᾶλλον δὲ λέγε αὐτὸν τὸν νόμον τὸν πρῶτον.

Νόμος. Τῶν ἐπικλήρων, ὅσαι * θητικὸν τελοῦσιν, ἐὰν μὴ βούληται ἔχειν ὁ ἐγγύτατα γένους, ἐκδιδότω ἐπιδούς, ὁ μὲν πεντακοσιομέδιμνος πεντακοσίας δραχμάς, ὁ δ' ἱππεὺς τριακοσίας, ὁ δὲ * ζευγίτης ἑκατὸν πεντήκοντα πρὸς τοῖς αὐτῆς. ἐὰν δὲ πλείους ὦσιν ἐν τῷ αὐτῷ γένει τῇ ἐπικλήρῳ· πρὸς μέρος ἐπιδιδόναι ἕκαστον. ἐὰν δ' αἱ γυναῖκες πλείους ὦσι· μὴ ἐπάναγκες εἶναι πλέον ἢ μίαν ἐκδοῦναι τῷ ἐν γένει. ἀλλὰ τὸν ἐγγύτατα δεῖ ἐκδιδόναι, ἢ αὐτὸν ἔχειν. ἐὰν δὲ μὴ ἔχῃ ὁ ἐγγυτάτω γένους ἢ μὴ ἐκδῷ· ὁ ἄρχων ἐπαναγκαζέτω, ἢ αὐτὸν ἔχειν, ἢ ἐκδοῦναι. ἐὰν δὲ μὴ ἐπαναγκάσῃ ὁ ἄρχων, ὀφειλέτω χιλίας δραχμάς, ἱερὰς τῇ ἥρᾳ. ἀπογραφέτω δὲ τὸν μὴ ποιοῦντα ταῦτα ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα. ἃ μὲν λέγει ὁ νόμος ὦ ἄνδρες δικασταί, ἀκούετε. ὅτι δὲ τῆς ἐπικλήρου ἔδει ἐπιδικάζεσθαι φιλομάχης, τῆς τουτουὶ μητρὸς, τοῦ παιδός, ἁγνίου δὲ ἀνεψιοῦ παιδὸς οὔσης πρὸς πατρὸς, ἐγὼ μὲν ἧκον. φοβούμενος τὸν νόμον, καὶ ἐπιδικαζόμην γένει ὢν ἐγγυτάτω. θεόπομπος δὲ ὁ μακαρτάτου πατὴρ οὐδὲ προσῆλθε τὸ παράπαν, οὐδ' ἠμφισβήτησε, διὰ τὸ μηδ' ὁτιοῦν αὐτῷ

A Rursus igitur sciscitor puerum hunc, quisnam ipse sit, qui cum Macartato de Hagniæ hæreditate contendat? Nihil prorsus aliud respondere queat puer, quàm se esse Eubulidem. quo patre natus ? Eubulide, Hagniæ patrueli. qua matre ? Philomacha ex Hagniæ patrueli fratre nata. Eubulides cuius fuit patris? Philagri, patrui Hagniæ. Cuius matris? Philomachæ, amitæ Hagniæ. Hagnias porrò cuius fuit filius? Polemonis. Polemo cuius? Hagniæ. Hagnias cuius? Buseli. Hæc altera est familia Hagniæ, vnius filiorum Buseli: & hic nequaquam inest idem nomen, quod est in familia posterorum Stratij, ac ne consimile quidem: sed ipsi per se in Hagniæ familia progrediuntur, nomina à se inuicem accipientes. Vndelibet igitur & modis omnibus alterius esse familiæ conuincuntur, generéque remotiores: neque quicquam eis ex Hagniæ hæreditate deberi. Quibus enim legislator propinquitatem det, & hęreditatem: hæ vobis leges recitabuntur.

Lex hereditatis unde familię, & onera cognatorū.

LEX.

B Quisquis intestatus moritur, si quidem liberos muliebris sexus reliquerit: filij cum hisce: sin minus, hi bona possidento. Sin fratres fuerint germani, & si liberi è fratribus legitimi: patris partem sortiuntur. Sin fratres non fuerint, aut fratrum liberi ex eis: eadem ratione sortiuntor. Præferuntor autem mares, & à maribus propagati, si ex iisdem fuerint, & si genere remotiores, *Si verò non fuerint à patre vsque ad sobrinorum liberos, ij qui sunt à matre viri, pari ratione potestatem habento. Sin ex neutra parte intra hos fuerint: à patre proximus obtineto. Spurio autem, aut spuriæ, ius ne esto propinquitatis, neque item sacrorum, neque publicorum, ab Euclide prætore. Apertè dicit lex, Iudices, quibus adeunda sit hæreditas: non ita me Deus amet, Theopompo, aut Macartato Theopompi filio, qui prorsus in Hagniæ familia
C non sunt. sed cui? Posteris Hagniæ: qui sunt in familia Hagniæ illius. Hæc & lex loquitur, & ius ita habet. Neque verò Iudices, cùm hæc legislator cognatis dederit, alia multa omnino nō mandauit, quę cognatis necessariò facienda sunt: sed plurima sunt, quæ lex facere iubet cognatos: neque vllum effugiū relinquit, quò minus ea facere sit necesse. Quin ipsam legem primùm recita.

LEX.

Pupillarum, aliquam, quæ in proletariorum ordine sunt, si habere noluerit genere proximus, dote data elocato: Patricius quingentis drachmis: eques trecentis: semieques cētū quinquaginta, præter ea quæ ipsa habet. Si verò plures fuerint in eadem familia, pro portione quisque pupillæ conferat. Quòd si mulieres plures fuerint: ne necesse sit cognato plus vnà elocare: sed proximus aut elocato, aut ipse ducito. Quòd nisi genere proximus eam vel elocarit, vel duxerit: prætor eum cogat aut elocare, aut ipsum ducere. Quòd ni prætor coegerit: debeat mille drachmas sacras Iunoni. Citet aūt eum qui detrectarit, quiuis ad prætorem. Quid lex dicat, Iudices, auditis. Cum autem de pupilla disceptandum esset Philomacha, huius pueri matre, nata ex patrueli Hagniæ: ego veni legem metuens, & eam mihi vendicaui, cum essem genere proximus. Theopompus autem Macartati pater prorsus non accessit: neque cōtrouersiam

mouit, quòd nihil ad ipsum attineret: idque cum esset eâdem ætate. Quàm absurdum autem esse putatis, Iudices, cùm Theopompus de pupilla quæ fuit Hagniæ patrueli nata, cum nemine vnquam litigarit: vt postulet Hagniæ sibi hæreditatem tribui contra omnes leges? Quid istis hominibus fieri queat impudẽtius, aut sceleratius? Recita etiam cæteras leges.

LEX.

*Homicida in foro postuletur ab iis qui sunt intra consobrinitatem & à consobrinis: vnà persequantur eundem & consobrinorum liberi, & generi, & soceri, & sobrini, & curiales. Sin cum eo redeundum in gratiam fuerit, si pater superstes erit, aut frater, aut filij: * aut omnium, aut eius qui prohibet, valebit autoritas. Sin horum nemo erit, & cædem inuitus fecerit, idq; quinquaginta & vnus Ephetæ pronunciarint: inuitum fecisse cædẽ, *intromittantur Curiales, si volent, decem. Ab his autem quinquaginta & vnus ex optimatibus deligantur: & qui prius cædem fecerunt, hac sanctione teneantur. Qui verò in municipiis desiderantur, quos nemo sustulerit: eos indicet tribunus cognatis, vt tollant & sepeliant: & populus eo die lustretur, quo die singuli desiderati fuerint. Denũcietur autem de seruis domino: de ingenuis, iis qui in bonis sunt. Sin mortuo bona non erunt: mortui cognatis denuncietur. Quòd si post tribuni denuntiationem cognati non sustulerint: tribunus tollendum cadauer locet, & sepeliendum, & lustrandum eo die populum, quàm minimo poterit. Sin non locarit: debeto mille drachmas ærario. Quicquid autem impenderit, duplum à debentibus exigito. Quod nisi fecerit: ipse debeto popularibus. qui autem locationes lucorum Mineruæ & cęterorum Deorum & Heroum non reddiderint: infames & ipsi sunto, & eorum hæredes, donec soluerint. Hæc omnia quæ leges iubent facere cognatos, nos iubent, & facere cogunt, Iudices: cum Macartato autem nihil loquuntur, neque cum Theopompo patre eius. Neque enim in familia Hagniæ sunt in vniuersum. Quo pacto igitur istis quicquam mandarent? Ac iste quidem ad refutandas leges & testimonia quæ nos exhibuimus, iusti nihil afferre potest: sed indignatur, & iniquè secum agi dictitat, qui patre mortuo reus fiat. Illud autem, Iudices, non considerat, patrem suum hominem fuisse mortalem: & cum aliis multis obiisse, & senioribus, & iunioribus. Etsi autem Theopompus obiit, leges non obierunt, neque ius obiit, neque iudices, pronunciandi autoritate præditi. Agitur autem in hoc iudicio, & in hac disceptatione, non vter prior aut posterior obierit: sed vtrum conueniat néc ne, expelli ex domo Hagniana patrueles & patruelium liberos Hagniæ, ab iis qui sunt è Stratij familia, & ei non ita coniuncti, vt Hagniæ hæreditatem adire possint, sed genere remotiores? De hoc igitur controuersia est. Sed & ex hac lege certius etiam cognoscetis, Iudices, quãtum Solon studium habeat domesticorum: neque relicta duntaxat eis bona det, sed etiam difficilia quæque cognatis mandet. Recita legem.

LEX.

Defunctum intus proponunto suo arbitratu: cadauer autem postridie quàm proposuerint, ante Solis exortum efferunto. Viri, cum effertur funus, antece-

A προσήκειν ἐκείνῳ ταῦτ᾽ ἐν τῇ ἡλικίᾳ ὢν τῇ αὐτῇ. καί τοι πῶς οἴεσθε, ὦ ἄνδρες δικασταί, ἄτοπον εἶναι, τῆς μὲν ἐπικλήρου, ἣ ἦν Ἁγνίᾳ ἀνεψιοῦ παῖς πρὸς πατρὸς, ταύτης μὲν μηδενὶ πώποτ᾽ ἀμφισβητῆσαι Θεόπομπον, τὸν δὲ κλῆρον τοῦ Ἁγνίου ἀξιοῦν ἔχειν παρὰ τοὺς νόμους ἅπαντας; τούτων γένοιτ᾽ ἂν ἄνθρωποι ἀναισχυντότεροι καὶ μιαρώτεροι; ἀνάγνωσθι καὶ τοὺς ἑτέρους νόμους.

Νόμος.

*Προειπεῖν τῷ κτείναντι ἐν ἀγορᾷ * ἐντὸς ἀνεψιότητος καὶ * ἀνεψιοῦ. συνδιώκειν δὲ καὶ ἀνεψιῶν παῖδας καὶ γαμβροὺς, καὶ * ἀνεψιοὺς καὶ πενθεροὺς, καὶ ἀνεψιαδοῦς, καὶ φράτορας. ἐὰν δὲ αἰδέσασθαι δέῃ. ἐὰν μὲν πατὴρ ᾖ, ἢ ἀδελφὸς, ἢ υἱεῖς, πάντας, ἢ τὸν κωλύοντα κρατεῖν. ἐὰν δὲ τούτων μηδεὶς ᾖ, κτείνῃ δ᾽ ἄκων, γνῶσι δ᾽ οἱ πεντήκοντα καὶ * εἷς οἱ ἐφέται ἄκοντα κτεῖναι, ἐσελθόντων οἱ φράτορες, ἐὰν θέλωσι, δέκα * τούτους δὲ οἱ πεντήκοντα καὶ * B εἷς ἀριστίνδην αἱρείσθων· καὶ οἱ πρότερον κτείναντες ἐν τῷδε τῷ θεσμῷ ἐνεχέσθων. τοὺς δ᾽ ἀπογινομένους ἐν τοῖς δήμοις, οὓς ἂν μηδεὶς ἀναιρῆται, ἐπαγγελλέτω ὁ δήμαρχος τοῖς προσήκουσιν ἀναιρεῖν καὶ θάπτειν, καὶ καθαίρειν τὸν δῆμον, τῇ ἡμέρᾳ ᾗ ἂν ἀπογένηται ἕκαστος αὐτῶν. ἐπαγγέλλειν δὲ περὶ μὲν τῶν δούλων τῷ δεσπότῃ, περὶ δὲ τῶν ἐλευθέρων τοῖς τὰ χρήματ᾽ ἔχουσιν. ἐὰν δὲ μὴ ᾖ χρήματα τῷ ἀποθανόντι, τοῖς προσήκουσι τοῦ ἀποθανόντος ἐπαγγέλλειν. ἐὰν δὲ τοῦ δημάρχου ἐπαγγείλαντος μὴ ἀναιρῶνται οἱ προσήκοντες, ὁ μὲν δήμαρχος ἀπομισθωσάτω ἀνελεῖν καὶ καταθάψαι καὶ καθᾶραι τὸν δῆμον αὐθημερὸν, ὅπως ἂν δύνωνται, ὀλιγίστου. ἐὰν δὲ μὴ ἀπομισθώσῃ, ὀφειλέτω χιλίας δραχμὰς τῷ δημοσίῳ. ὅτι δ᾽ ἂν ἀναλώσῃ, διπλάσιον πραξάσθω παρὰ τῶν ὀφειλόντων. ἐὰν δὲ μὴ πράξῃ, αὐτὸς ὀφειλέτω τοῖς δημόταις, τοὺς δὲ μὴ ἀποδιδόντας τὰς μισθώσεις τῶν τεμενῶν, τῶν τε θεοῦ, καὶ τῶν ἄλλων θεῶν, καὶ τῶν ἐπωνύμων, ἀτίμους εἶναι καὶ αὐτοὺς, καὶ C κληρονόμους τοὺς τούτων, ἕως ἂν ἀποδῶσι. ταῦτα πάνθ᾽ ὅσα οἱ νόμοι προστάττουσι ποιεῖν τοὺς προσήκοντας, ἡμῖν προστάττουσι καὶ ἀναγκάζουσι ποιεῖν, ὦ ἄνδρες δικασταί, Μακαρτάτῳ δὲ τούτῳ οὐδὲν διαλέγονται, οὐδὲ Θεοπόμπῳ τῷ πατρὶ τῷ τούτου. οὐδὲ γάρ εἰσιν ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου τὸ παράπαν· πῶς οὖν ἂν τούτοις τι προστάττοιεν; ἀλλ᾽ οὗτος, ὦ ἄνδρες δικασταί, πρὸς μὲν τοὺς νόμους καὶ τὰς μαρτυρίας, ἃς ἡμεῖς παρεχόμεθα, δίκαιον μὲν οὐδ᾽ ὁτιοῦν ἔχει λέγειν. ἀγανακτεῖ δὲ καὶ δεινά φησι πάσχειν, ὅτι τοῦ πατρὸς τετελευτηκότος ἀγωνίζεται. ἐκεῖνο δ᾽ οὐκ ἐνθυμεῖται, ὦ ἄνδρες δικασταί, Μακάρτατος, ὅτι ὁ πατὴρ αὐτοῦ ἄνθρωπος ἦν θνητὸς καὶ τετελεύτηκε μετ᾽ ἄλλων πολλῶν, καὶ νεωτέρων, καὶ πρεσβυτέρων. ἀλλ᾽ εἰ Θεόπομπος τετελεύτηκεν ὁ τουτουῒ πατὴρ, οἱ νόμοι οὐ τετελευτήκασιν, οὐδὲ τὸ δίκαιον τετελεύτηκεν, οὐδ᾽ οἱ δικασταὶ οἱ τὴν ψῆφον ἔχοντες. ἔστι δὲ ὁ νυνὶ ἀγὼν καὶ ἡ διαδικασία, οὐκ εἴ τις ἕτερος ἑτέρου πρότερος ἢ ὕστερον τετελεύτηκεν, ἀλλ᾽ * εἰ μὴ προσήκει ἐξελαθῆναι ἐκ τοῦ οἴκου τοῦ Ἁγνίου * ἀνεψιοὺς ὄντας, καὶ ἀνεψιῶν παῖδας Ἁγνίᾳ πρὸς πατρὸς, ὑπὸ τῶν ἐκ τοῦ Στρατίου οἴκου, καὶ μηδὲν προσηκόντων, ὥστε κληρονομεῖν τῶν Ἁγνίου, ἀλλὰ γένει ἀποτέρων ὄντων; περὶ τούτου τοίνυν ἐστὶν ὁ ἀγών. ἔτι δὲ σαφέστερον γνώσεσθε, ὦ ἄνδρες δικασταί, καὶ ἐκ τοῦ δὲ τοῦ νόμου, ὅτι Σόλων ὁ νομοθέτης σπουδάζει περὶ τοὺς οἰκείους καὶ οὐ μόνον δίδωσι τὰ καταλειφθέντα, ἀλλὰ καὶ προστάγματα ποιεῖται τὰ δυσχερῆ ἅπαντα τοῖς προσήκουσι. λέγε τὸν νόμον.

Νόμος.

Τὸν ἀποθανόντα προτίθεσθαι, ἔνδον, ὅπως ἂν βούληται. ἐκφέρειν δὲ τὸν ἀποθανόντα τῇ ὑστεραίᾳ ᾗ ἂν προθῶνται, πρὶν ἥλιον ἐξέχειν. βαδίζειν δὲ τοὺς ἄνδρας πρόσθεν, ὅταν ἐκφέρωνται

φέρεσθαι, τὰς δὲ γυναῖκας ὄπισθεν, γυναῖκα δὲ μὴ ἐξεῖναι εἰσιέναι εἰς τὰ τοῦ ἀποθανόντος, μηδ' ἀκολουθεῖν ἀποθανόντι, ὅταν εἰς τὰ σήματα ἄγηται, ἐντὸς ἑξήκοντ' ἐτῶν γεγονυῖαν, πλὴν ὅσαι ἐντὸς ἀνεψιαδῶν εἰσί. μηδ' εἰς τὰ τοῦ ἀποθανόντος εἰσιέναι, ἐπειδὰν ἐξενεχθῇ ὁ νέκυς, γυναῖκα μηδεμίαν, πλὴν ὅσαι ἐντὸς ἀνεψιαδῶν εἰσίν. οὐκ ἐᾷ εἰσιέναι, οὗ ἂν ᾖ ὁ τετελευτηκὼς, οὐδεμίαν γυναῖκα ἄλλην, ἢ τὰς προσηκούσας μέχρι ἀνεψιότητος, καὶ πρὸς τὸ μνῆμα ἀκολουθεῖν τὰς αὐτὰς ταύτας. φιλομάχη τοίνυν, ἡ πολέμωνος ἀδελφὴ, τοῦ πατρὸς τοῦ ἁγνίου, οὐκ ἀνεψιὰ ἦν ἁγνίᾳ, ἀλλὰ τηθίς. ἀδελφὴ γὰρ ἦν πολέμωνος τοῦ πατρὸς ἁγνίου. εὐβουλίδης δὲ ὁ υἱὸς ταύτης τῆς γυναικὸς, ἀνεψιὸς ἦν πρὸς πατρὸς ἁγνίᾳ οὗ ἐστὶν ὁ κλῆρος. τοῦ δ' εὐβουλίδου ἦν θυγάτηρ, ἡ τουτουὶ τοῦ παιδὸς μήτηρ. ταύτας κελεύει τὰς προσηκούσας, καὶ παρεῖναι τῇ προθέσει τοῦ τετελευτηκότος, καὶ ἐπὶ τὸ μνῆμα ἀκολουθεῖν, οὐ τὴν μακαρτάτου μητέρα, οὐδὲ τὴν θεοπόμπου γυναῖκα. οὐ γὰρ προσήκουσιν ἁγνίᾳ αὗται, ἀλλ' ἦσαν ἐξ ἑτέρας φυλῆς ἀκαμαντίδος, καὶ ἐξ ἑτέρου δήμου προσπαλτόθεν,* ὥστε τὸ παράπαν οὐδ' ᾔσθοντο ὅτε ἦν τετελευτηκὼς ὁ ἁγνίας. παρανομώτατον δὴ οὗτοι κατασκευάζουσι πρᾶγμα, ὡς ἄρα δεῖ ἡμᾶς, καὶ τὰς γυναῖκας τὰς ἡμετέρας τοῦ μὲν σώματος τοῦ ἁγνίου, ὅτε ἐτετελευτήκει, κληρονόμους εἶναι, καὶ ποιεῖν ἅπαντα τὰ νομιζόμενα, ὡς προσήκοντας, καὶ γένει ὄντας ἐγγυτάτω. τὸν δὲ κλῆρον οἴεσθαι δεῖν ἔχειν τὸν ἁγνίου τοῦ τετελευτηκότος μακάρτατον ἐκ τοῦ στρατίου ὄντα οἴκου, καὶ ἐκ τῆς ἀπὸ ληξίδος * τοῦ προσπαλτίου θυγατρὸς, μακαρτάτου δ' ἀδελφῆς, ἀλλ' οὔτε δίκαιον, οὔθ' ὅσιον τοῦτ' ἐστὶν, ὦ ἄνδρες δικασταί. ἀνάγνωθι δή μοι τὰ ἐκ τῆς μαντείας τῆς ἐκ δελφῶν κομισθείσης παρὰ τοῦ θεοῦ, ἵν' αἴσθησθε, ὅτι ταὐτὰ λέγει, περὶ τῶν προσηκόντων, τοῖς νόμοις τοῖς τοῦ σόλωνος. Μαντεία.

A

Ἀγαθῇ τύχῃ, ἐπερωτᾷ ὁ δῆμος ὁ ἀθηναίων περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ γενομένου, ὅ, τι ἂν δρῶσιν ἀθηναῖοι, ἢ ὅτῳ θεῷ θύουσιν, ἢ εὐχομένοις εἴη ἐπὶ τὸ ἄμεινον ἀπὸ τοῦ σημείου; συμφέρει ἀθηναίοις περὶ τοῦ σημείου τοῦ ἐν τῷ οὐρανῷ γενομένου θύοντας, καλλιερεῖν διὶ ὑπάτῳ, ἀθηνᾷ ὑπάτῃ, ἡρακλεῖ, ἀπόλλωνι σωτῆρι, καὶ ἀποπέμπειν ἀμφικτύοσι περὶ τύχας ἀγαθᾶς, ἀπόλλωνι ἀγυιεῖ, λητοῖ, ἀρτέμιδι, καὶ τὰς ἀγυιὰς κνισῆν, καὶ κρατῆρας ἱστάμεν καὶ χορούς, καὶ στεφανηφορεῖν * κατὰ πάτρια θεοῖς ὀλυμπίοις καὶ ὀλυμπίαις, πάντεσσι καὶ πάσαις, δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντας μνασιδωρεῖν, κατὰ πάτρια ἥρῳ ἀρχηγέτᾳ, οὗ ἐπώνυμοί ἐστε θύειν, καὶ δωροτελεῖν,* καὶ τὰ πάτρια τοῖς ἀποφθιμένοις ἐν ἱκνουμένᾳ ἀμέρᾳ τελεῖν τοὺς ποθήκοντας* κατὰ τὰ ἀγημένα. ἀκούετε, ὦ ἄνδρες δικασταί, ὅτι ταὐτὰ λέγει ὅ, τε σόλων ἐν τοῖς νόμοις, καὶ ὁ θεὸς ἐν τῇ μαντείᾳ, κελεύων τοῖς κατοιχομένοις* ποιεῖν τοὺς προσήκοντας ἐν ταῖς καθηκούσαις ἡμέραις. ἀλλὰ τούτων οὐδὲν ἔμελε τῷ θεοπόμπῳ. οὐδὲ τῷ μακαρτάτῳ τούτῳ. ἀλλὰ τοῦτο μόνον, τὰ μὴ προσήκοντα ἑαυτοῖς, ἔχειν, καὶ ἐγκαλεῖν, ὅτι πολὺν χρόνον ἐχόντων αὐτῶν τὸν κλῆρον, νυνὶ ἀγωνίζονται. ἐγὼ δ' ᾤμην, ὦ ἄνδρες δικασταί, προσήκειν, τὸν τἀλλότρια ἀδίκως ἔχοντα οὐκ ἐγκαλεῖν, εἰ πλείω χρόνον εἶχεν· ἀλλὰ χάριν εἰδέναι μὴ ἡμῖν, ἀλλὰ τῇ τύχῃ, ὅτι πολλαὶ καὶ ἀναγκαῖαι διατριβαὶ ἐγένοντο ἐν τῷ μεταξὺ χρόνῳ, ὥστε νυνὶ περὶ τούτων ἡμῖν ἀγωνίζεσθαι. οὗτοι μὲν οὖν τοιοῦτοι εἰσὶν ἄνθρωποι, ὦ ἄνδρες δικασταί, καὶ μέλει αὐτοῖς οὐδὲν, οὔτε τοῦ οἴκου ἐξερημουμένου τοῦ ἁγνίου, οὔτε τῶν ἄλλων ὅσα παρανομοῦσιν· οἵτινές γε, ὦ ζεῦ καὶ θεοὶ (τὰ μὲν ἄλλα τί ἄν τις λέγοι περὶ τούτων; πολλὰ γὰρ ἂν λέγοι) ἓν δὲ μιαρώτατον καὶ παρανομώτατον διαπεπραγμένοι εἰσὶ, καὶ μάλιστ' ἐνδεικνύμενοι, ὅτι οὐδὲν αὐ-

A dunto: mulieres ponè sequuntor. Mulieri autem nefas esto in bona defuncti ingredi, itémque sequi cadauer, cum in monumenta ducitur, annis sexaginta minori: iis exceptis quæ intra sobrinas sunt: nec in bona defuncti ingrediatur, postquam elatum cadauer fuerit, mulier vlla: iis exceptis quæ intra sobrinas sunt. Nō sinit ingredi, quo in loco cadauer fuerit, vllā aliam mulierem, nisi cognatas vsque ad sobrinitatem: & ad sepulchrum vsque comitari easdem sinit. Iam Philomacha, Polemonis soror, patris Hagnię non consobrina fuit Hagnię, sed amita. Soror enim fuit Polemonis, patris Hagniæ. Eubulides autem filius eius mulieris, frater patruelis fuit Hagniæ, cuius est hæreditas. Eubulidæ porrò filia fuit, huius pueri mater. Cognatas hasce iubet & adesse propositioni defuncti, & ad sepulchrum comitari non Macartati matrem, neque Theopompi vxorem. neque enim cognatæ istæ sunt Hagniæ, sed fuerunt ex alia tribu Acamantia, & ex alio municipio Prospaltio: adeò vti
B prorsus non animaduerterint, defunctum esse Hagniam. Rem igitur isti supra modum impudentem moliuntur, si in ea opinione sunt, oportuisse nos & mulieres nostras, cadaueris Hagniæ, cū obiisset, hæredes esse, & persoluere omnia iusta, vt cognatos & genere proximos: hęreditatem autem tenere Macartatum qui est è familia Stratij, & ex Apolexide * Prospaltij filia, Macartati sorore. Sed hoc neque iustum, neque fas est, Iudices. Lege mihi illa ex oraculo Apollinis Delphico: vt intelligatis, eum eadem dicere de cognatis, quæ legibus Solonis continentur.

## ORACVLVM.

Quod felix faustúmque sit, quærit populus Atheniensis de ostento quod in cœlo apparuit: quidnam agendum sit Atheniensibus, aut cui deo sacrificandum, aut vota nuncupanda, vt faustus sit ostenti euentus? Prodest Atheniensibus de ostento quod in cœlo apparuit, sacrificando litare Ioui summo, Mineruæ summæ, Herculi, Apollini seruatori, & * mittere ad Amphictyonas, de fortuna bona: Apollini Compitalitio, Latonę, Dianę, & compita suffire, & crateras statuere, & saltare, & coronas gestare patrio ritu, diis deabúsque Olympiis omnibus dextris sinistrísque sublatis, meminisse munificentiæ: patrio ritu heroi principi, à quo cognominati estis, sacra facere, & munera offerre, & * parentalia defunctis præstari statis diebus à cognatis, secundum instituta. Auditis, Iudices, eadem loqui Solonem in legibus quæ deum in oraculo, iubentem, vt defunctis cognati statis diebus inferias dent? At nihil horum curæ fuit Theopompo, aut Macartato: sed illud duntaxat, vt ea tenerent, quæ ad eos non pertinerent: & queruntur, sibi nunc moueri controuersiam de hęreditate, quam longo tempore tenuerunt. Ego verò sic existimo, conuenire Iudices, vt is, qui aliena iniustè tenuit, non queratur, se ea diutius tenuisse: sed gratiam habeat, non nobis, sed fortunæ, quòd multæ & necessariæ dilationes interim inciderunt, vt nunc demum de eis nobiscum certent. Isti autē tales homines sunt, Iudices, vt nihil curent, neque familiam Hagniæ desolatam, neque cætera in quibus leges violant: qui quidem, proh diuûm hominúmque fidem (reliqua narrare quorsum attineret? multa enim dici queant) vnum maximè & nefarium, & legibus cōtrariū facinus perpetra-

Criminatio impietatis & auariciæ aduersariorū, & commendatio sui, & pueri.

C

runt: quo potissimum ostenderunt, sibi nihil aliud esse curæ, nisi pecuniam. Nam cùm primùm Theopompus nobiscum de hæreditate Hagniæ disceptaret, eo modo quem audistis: statim declarauit existimare se, aliena se occupare. Quod enim maximi erat præcij in prædiis Hagniæ, & maximæ admirationi erat vicinis & aliis hominibus oleæ: eas effoderunt, & extirparūt amplius mille stirpes, quæ magnā olei copiā afferebant: eas isti extirpatas vendiderunt, & immensam argenti copiam receperunt. eáque fecerunt isti, cùm actioni obnoxia esset hæreditas Hagniæ, ex ea lege, qua isti freti, matrem huius accusarant. Vt autem me vera dicere appareat, & istos extirpasse oleas constet, ex iis prædiis quæ Hagnias reliquit: horum testes vobis producemus vicinos, & ex cæteris quos accersiuimus, cum testificaremur. Recita testimonium.

## TESTIMONIVM.

Testantur se secutos, accersitos à Sositheo ad Araphena in Hagniæ agros, cùm Theopompus Hagniæ hæreditatem creuisset: & sibi ostendisse Sositheum oleas dum extirparentur ex Hagniæ agro. Quòd si, Iudices, solùm in defunctum iniurij fuissent: grauiter peccassent, sed non adeò. nunc istæ iniuriæ & contumeliæ ad totam rempublicam pertinent: idq; ita esse, lege audita, cognoscetis. Recita legem.

## LEX.

Si quis oleam Athenis effoderit (nisi ad templum Atheniensium publicum aut municipale requiratur) in suos vsus * vsque ad binas oleas quotannis (nisi ad funus iisdem vtendum sit) centenas de singulis oleis drachmas ærario debeto, atque eius mulctæ decimæ Mineruæ sunto: debeto & homini priuato, à quo reus peractus fuerit, centenas drachmas in singulas oleas. *Actio autem harum rerum apud eos magistratus instituatur, quarum quinque iudices sunt: & actor sportulas ponat suæ partis. Qui autem condemnatus fuerit: eum prætores inscribunto, apud quos iudiciū fiet exactoribus de eo quod in ærarium redit: quæstoribus Mineruæ, de eo quod deæ consecratum est. Quod ni inscripserint: ipsi debento. Lex quidem hæc firma est. illud autem cogitate ipsi vobiscum, Iudices: quidnam putetis nos perpessos esse superiore tempore ab istis, istorúmque petulantia, qui tantam vestram vrbem contempserint, & leges vestras ? & quod apertè legibus interdictum est, adeò contumeliosè prædia deuastarunt, quæ reliquit Hagnias? Lex autem vetat vel in proprio patrimonio ista fieri. Multum scilicet isti curāt, an legibus vestris obtemperēt, aut Hagniæ familia desoletur? Ego verò de meipso pauca dicam apud vos, Iudices: atque ostendam, aliter quam istis, curæ mihi fuisse Hagnianam familiam, vt ne interiret. Nā & ipse sum Buselini generis. Habronis enim Buseli filij neptem è filia, duxit Callistratus Eubulidæ filius, Buseli nepos: & ex Habronis nepte, & Callistrato, nepote Habronis, nata est mater nostra. Ego verò matrem huius, iudicio euictam duxi: natíque mihi filij sunt quatuor, vna filia. His nomina imposui, Iudices, hæc: natu maximo Sosiæ, patris mei: vt æquum est, & natu maximo id nomen restitui. proximè ab hoc nato, nomen feci Eubulidæ, quod nomen fuit patri matris pueri huius. Ei qui hunc sequitur , Menesthei nomen imposui:

A τοῖς μέλει, πλὴν τοῦ πλεονεκτεῖν. εὐθὺς γὰρ ἐπειδὴ ἔφθη ὁ Θεόπομπος τὴν ἐπιδικασίαν ἡμῖν ποιησάμενος τοῦ κλήρου τοῦ ἁγνίου, τὸν τρόπον τοῦτον, ὃν ὑμεῖς ἀκηκόατε· καὶ εὐθὺς ἐνεδείξατο, ὅτι τὰ οὐδὲν προσήκονθ' ἑαυτῷ ἔχειν ἐνόμιζεν· ὃ γὰρ ἦν πλείστου ἄξιον ἐν τοῖς χωρίοις τοῦ ἁγνίου, καὶ ἐθαυμάζετο μάλιστα, καὶ ὑπὸ τῶν προσχώρων, καὶ ὑπὸ τῶν ἄλλων ἀνθρώπων, αἱ ἐλᾶαι. ταύτας ἐξώρυττον, καὶ ἐξεπρέμνιζον, πλέον ἢ χίλια στελέχη, ὅθεν ἔλαιον πολὺ ἐγίγνετο. ταύτας οὗτοι ἀπέδοντο, ἐκπρεμνίσαντες, καὶ ἀργύριον ὑπέρπολυ ἔλαβον. καὶ ταῦτ' ἐποίουν οὗτοι, ἐπιδίκου ὄντος τοῦ κλήρου, τοῦ ἁγνίου κατὰ τὸν νόμον, καθ' ὅνπερ οὗτοι τὴν τουτουὶ μητέρα προσεκαλέσαντο. ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, καὶ ἐξεπρέμνισαν οὗτοι τὰς ἐλάας ἐκ τῶν χωρίων, ὧν ἁγνίας κατέλιπε, μάρτυρας ὑμῖν τούτων παρεξόμεθα τούς τε προσχώρους, καὶ τῶν ἄλλων οὓς παρεκαλεσάμεθα, ὅτε ἐμαρτυρόμεθα. λέγε τὴν μαρτυρίαν. Μαρτυρία.

B Μαρτυροῦσιν ἀκολουθῆσαι ἀραφηνάδε, παρακληθέντες ὑπὸ σωσιθέου, εἰς τοὺς ἁγνίου ἀγρούς, ἐπειδὴ θεόπομπος ἐπεδικάσατο τοῦ κλήρου τοῦ ἁγνίου, καὶ ἐπιδεικνύναι αὐτοῖς σωσίθεον, τὰς ἐλάας πρεμνιζομένας ἐκ τοῦ ἁγνίου ἀγροῦ. εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, τὸν τετελευτηκότα μόνον ὕβριζον ταῦτα διαπραξάμενοι, δεινὰ μὲν ἐποίουν, ἧττον δέ. νῦν δὲ καὶ εἰς ὅλην τὴν πόλιν ταυτὶ ὑβρίκασι καὶ παρανενομήκασιν. γνώσεσθε δὲ, ἐπειδὰν τοῦ νόμου ἀκούσητε. ἀναγίγνωσκε τὸν νόμον.

Νόμος.

Ἐάν τις ἐλάαν ἀθήνησιν ἐξορύττῃ (ἐὰν μὴ εἰς ἱερὸν ἀθηναίων δημόσιον ἢ δημοτικὸν ᾖ) ἑαυτῷ χρῆσθαι μέχρι δυοῖν ἐλάαιν τοῦ ἐνιαυτοῦ ἑκάστου, ἢ ἐπὶ ἀποθανόντα δέῃ χρήσασθαι. ὀφειλέτω ἑκατὸν δραχμὰς τῷ δημοσίῳ τῆς ἐλάας ἑκάστης· τὸ δὲ ἐπιδέκατον τούτου τῆς θεοῦ εἶναι. ὀφειλέτω δὲ καὶ ἰδιώτῃ τῷ ἐπεξιόντι ἑκατὸν δραχμὰς καθ' ἑκάστην ἐλάαν. τὰς δὲ δίκας εἶναι περὶ τούτων πρὸς τοὺς ἄρχοντας,

C ὧν ἕκαστοι δικασταί εἰσι. πρυτανεῖα δὲ τιθέτω ὁ διώκων τοῦ αὑτοῦ μέρους. ὅτου δ' ἂν καταγνωσθῇ, ἐγγραφόντων οἱ ἄρχοντες πρὸς οὓς ἂν ᾖ ἡ δίκη τοῖς πράκτορσιν ὃ τῷ δημοσίῳ γίνεται,* τοῖς ταμίαις τῶν τῆς θεοῦ. ἐὰν δὲ μὴ ἐγγράφωσιν, αὐτοὶ ὀφειλόντων. ὁ μὲν νόμος οὕτως ἰσχυρός. ἐκεῖνο δ' ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτούς, ὦ ἄνδρες δικασταί, τί ποτ' οἴεσθε ἡμᾶς πάσχειν ἐν τῷ παρεληλυθότι χρόνῳ ὑπὸ τούτων, καὶ ὑπὸ τῆς ὕβρεως τῆς τούτων, ὅπου ὑμῶν, πόλεως τηλικαυτησί, κατεφρόνησαν, καὶ τῶν νόμων τῶν ὑμετέρων; καὶ ἃ διαρρήδην ἀπαγορεύουσιν οἱ νόμοι μὴ ποιεῖν, οὑτωσὶ καταφρονητικῶς ᾐκίσαντο τὰ χωρία ἃ κατέλιπεν ἁγνίας; ὁ δὲ νόμος ἀπαγορεύει, μηδ' ἐκ τοῦ ἑαυτοῦ χωρίου τοῦ πατρῴου ταῦτα ποιεῖν· πολύ γε αὐτοῖς μέλει, ἢ τοῖς νόμοις τοῖς ὑμετέροις πείθεσθαι, ἢ ὅπως μὴ ἐξερημωθῇ ὁ οἶκος ὁ ἁγνίου; ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βούλομαι περὶ ἐμαυτοῦ εἰπεῖν πρὸς ὑμᾶς διὰ βραχέων, καὶ ἐπιδεῖξαι, ὅτι οὐχ ὁμοίως τούτοις, ἐπιμέλειαν ἐποιησάμην τοῦ οἴκου τοῦ ἁγνίου, ὅπως μὴ ἐξερημωθήσεται. καὶ αὐτὸς γάρ εἰμι τοῦ γένους τοῦ βουσέλου. ἀβρώνος γὰρ τοῦ βουσέλου υἱέως ἔλαβε τὴν θυγατριδῆν καλλίστρατος, εὐβουλίδου μὲν υἱὸς ὤν, βουσέλου δ' υἱιδοῦς. καὶ ἐκ τῆς ἀβρώνος θυγατριδῆς καὶ καλλιστράτου τοῦ ἀδελφιδοῦ τοῦ ἀβρώνος ἐγένετο ἡ μήτηρ ἡ ἡμετέρα. ἐγὼ δ' ἐπεδικασάμην τῆς τούτου μητρός. καὶ ἐγένοντό μοι υἱεῖς μὲν τέσσαρες, θυγάτηρ δὲ μία. τὰ δ' ὀνόματα ἐθέμην τούτοις, ὦ ἄνδρες δικασταί, τῷ μὲν πρεσβυτάτῳ τὸ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ὄνομα σωσίαν, ὥσπερ καὶ δίκαιόν ἐστι, καὶ ἀπέδωκα τῷ πρεσβυτάτῳ τοῦτο τὸ ὄνομα. τῷ δὲ μετὰ τὸν πρεσβύτατον γενομένῳ, τούτῳ ἐθέμην εὐβουλίδην, ὅπερ ἦν ὄνομα τῷ πατρὶ τῷ τῆς μητρὸς τοῦ παιδὸς τουτου. τῷ δὲ μετὰ τοῦτον μενεσθέα ἐθέμην.

A καὶ γὰρ ὁ μνησθεὶς οἰκεῖος ἦν τῆς ἐμῆς γυναικός. τῷ δὲ νεωτάτῳ ἐθέμην ὄνομα Καλλίστρατον, ὃ ἦν ὄνομα τῷ πατρὶ τῆς ἐμῆς μητρός. ἔτι δὲ πρὸς τούτοις καὶ τὴν θυγατέρα ἔδωκα οὐδαμόσε ἔξω, ἀλλὰ τῷ ἀδελφιδῷ τῷ ἐμαυτοῦ, ὅπως, ἐὰν ὑγιαίνωσι καὶ οἱ ἐκ τούτων ἐκ τοῦ αὐτοῦ γένους ὦσιν Ἁγνίᾳ. ἐγὼ μὲν οὖν τοῦτον τὸν τρόπον διῴκησα, ὅπως ἂν μάλιστα διασώζωνται οἱ οἶκοι οἱ ἀπὸ τοῦ Βουσήλου. τουτουσὶ δ' ἐξετάσωμεν πάλιν, καὶ πρῶτον μὲν τὸν νόμον τουτονὶ ἀνάγνωθι. Νόμος.

Ὁ ἄρχων ἐπιμελείσθω τῶν ὀρφανῶν, καὶ τῶν ἐπικλήρων, καὶ τῶν οἴκων τῶν ἐξερημουμένων, καὶ τῶν γυναικῶν, ὅσαι μένουσιν ἐν τοῖς οἴκοις τῶν ἀνδρῶν τῶν τεθνηκότων, φάσκουσαι κυεῖν, τούτων ἐπιμελείσθω. καὶ μὴ ἐάτω ὑβρίζειν, ἢ ποιεῖν τι παράνομον. κύριος δ' ἔστω ἐπιβάλλειν κατὰ τὸ τέλος. ἐὰν δὲ μείζονος ζημίας δοκῇ ἄξιος εἶναι, προσκαλεσάμενος * προσπέμπτα, καὶ τίμημα ἐπιγραψάμενος ὅ,τι ἂν δοκῇ αὐτῷ, εἰσαγαγέτω εἰς τὴν ἡλιαίαν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ τοῦ ἁλόντος ὅ,τι χρὴ B αὐτὸν παθεῖν ἢ ἀποτίσαι. πῶς ἂν οὖν μᾶλλον ἐξερημώσειαν ἄνθρωποι οἶκον, ἢ εἴ τινες τοὺς γένει ὄντας ἐγγυτάτω Ἁγνίᾳ, τούτους ἐξελαύνοιεν, ἐξ ἑτέρου οἴκου ὄντες τοῦ Στρατίου; καὶ πάλιν, εἰ τὸν μὲν κλῆρον ἀξιοῖ ἔχειν τὸν Ἁγνίου, ὡς γένει προσήκων, τὸ δ' ὄνομά ἐστιν αὐτῷ μὴ ὅτι ἐκ τοῦ Ἁγνίου οἴκου, ἀλλ' οὐδ' ἐκ τοῦ Στρατίου ἐστὶ τοῦ ἑαυτοῦ προγόνου· ἀλλ' οὐδ' ἐκ τῶν ἄλλων ἀπογόνων τοῦ Βουσήλου, τοσούτων γενομένων, οὐδενὸς ἔχει τὸ ὄνομα. ἀλλὰ πόθεν δή ἐστι τὸ ὄνομα ὁ Μακάρτατος; ἐκ τῶν πρὸς μητρός. εἰσεποιήθη γὰρ οὗτος εἰς τὸν οἶκον τὸν Μακαρτάτου, τοῦ Προσπαλτίου, ἀδελφοῦ ὄντος τῆς μητρὸς τῆς τούτου, καὶ ἔχει καὶ ἐκεῖνον τὸν οἶκον. καὶ οὕτως ἐστὶν ὑβριστής. ὥστε γενομένου αὐτῷ υἱέως, τοῦτον μὲν εἰσαγαγεῖν εἰς τὸν οἶκον τὸν Ἁγνίου υἱὸν τῷ Ἁγνίᾳ ἐπελάθετο· καὶ ταῦτ' ἔχων τὸν κλῆρον τὸν Ἁγνίου, καὶ φάσκων C πρὸς ἀνδρῶν αὐτῷ προσήκειν τούτῳ· τὸν δὲ υἱὸν τὸν γενόμενον, τῷ Μακαρτάτῳ εἰσπεποίηκε, * τῷ πρὸς μητρὸς εἰς τοὺς Προσπαλτίους· τὸν δὲ Ἁγνίου οἶκον εἴασεν ἔρημον εἶναι τὸ τούτου μέρος. φησὶ δὲ τὸν πατέρα τὸν ἑαυτοῦ Θεόπομπον προσήκειν Ἁγνίᾳ. ὁ δὲ νόμος κελεύει ὁ τοῦ Σόλωνος, κρατεῖν τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων. οὗτος δ' οὑτωσὶ ῥᾳδίως καταπεφρόνηκε καὶ τῶν νόμων καὶ τοῦ Ἁγνίου, καὶ εἰσεποίησε τὸν υἱὸν εἰς τὸν οἶκον τὸν πρὸς μητρός. πῶς ἂν γένοιντο τούτων ἄνθρωποι παρανομώτεροι ἢ βιαιότεροι; οὐ τοίνυν ταῦτα μόνον, ὦ ἄνδρες δικασταί, ἀλλὰ καὶ μνήματος ὄντος κοινοῦ ἅπασι τοῖς ἀπὸ τοῦ Βουσήλου γενομένοις, καὶ καλεῖται τὸ μνῆμα Βουσηλιδῶν, πολὺς τόπος περιβεβλημένος, ὥσπερ οἱ ἀρχαῖοι ἐνόμιζον. ἐν τούτῳ τῷ μνήματι, οἱ μὲν ἄλλοι πάντες, οἱ ἀπὸ τοῦ Βουσέλου γενόμενοι, κεῖνται, καὶ ὁ Ἁγνίας καὶ Εὐβουλίδης, καὶ ὁ Πολέμων, καὶ οἱ ἄλλοι πάντες τοσοῦτοι ὄντες, συγγενεῖς οἱ ἀπὸ τοῦ Βουσέλου· ἅπαντες οὗτοι κοινωνοῦσι τοῦ μνήματος τούτου. ὁ δὲ τουτουῒ πατὴρ Μακαρτάτου, καὶ ὁ τούτου πάππος, οὐ κεκοινωνήκασι τοῦ μνήματος τούτου, ἀλλ' αὐτοῖς ἰδίᾳ ἐποιήσαντο μνῆμα ἄποθεν τοῦ Βουσελιδῶν μνήματος. δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες δικασταί, προσήκειν τι τῷ οἴκῳ τῷ Ἁγνίου; πλὴν τοῦ ἔχειν ἁρπάσαντες τὰ μὴ προσήκοντα; εἰ δ' ἐξερημωθήσεται καὶ ἀνώνυμος ἔσται ὁ οἶκος ὁ Ἁγνίου καὶ ὁ Εὐβουλίδου τοῦ ἀνεψιοῦ τοῦ Ἁγνίου, οὐδὲ κατὰ τοὐλάχιστον πώποτ' αὐτοῖς ἐμέλησεν. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βοηθῶ μὲν ὡς οἷός τ' εἰμί, μάλιστα μὲν τοῖς τετελευτηκόσιν ἐκείνοις. οὐ πάνυ δέ ἐστι ῥᾴδιον ταῖς τούτου παρασκευαῖς ἀνταγωνίζεσθαι. παραδίδωμι οὖν ὑμῖν, ὦ ἄνδρες δικασταί, τὸν παῖδα τουτονὶ ἐπιμεληθῆναι, ὅπως ὑμῖν δικαιότατα δοκεῖ εἶναι. οὗτος εἰσπεποίηται εἰς τὸν οἶκον τὸν Εὐβουλίδου, καὶ εἰσῆκται εἰς τοὺς

A nam & Menestheus cognatus vxori meæ fuit. Minimo nomen feci Callistrato, quod nomen patri matris meæ fuit. Præterea filiam etiam, nulli alieno collocaui, sed fratris mei filio: vt si valuerint, & horum liberi, ex eadem sint cum Hagnia familia. Ac ego quidem eam rationem inij, qua maximè familiæ oriundæ à Buselo, conuersarentur. In istos autem rursus inquiremus. Sed legem prius hanc recita.

LEX.

Prætor curam gerat pupillorum & pupillarum, & familiarum quæ intereunt, & matronarum quæ manent in ædibus maritorum defunctorum, se vterum ferre dicentes. horum curam gerat, neque sinat eis iniuriam fieri, aut quicquam in eos iniquum committi. & potestatem habeat autoritate magistratus, infligendæ pœnæ. Sin grauiore pœna dignus videbitur: * accersitum accuset, & mulcta suo arbitrio inscripta, in Heliæam introducat. Quòd si conuictus fuerit, pronunciet Heliæa, quid ei sit luendum, aut soluendũ. Quo aũt pacto magis vlli familiã alicuius extirpare possint, quàm si Hagniæ genere proximos B expulerint ij, qui sunt ex alia Stratij familia? & rursus si hæreditatem Hagniæ postulat vt cognatus, nomen autem habet nedum ex Hagniæ familia, sed nec è Stratij sui progenitoris? atque adeò, cum tanta fuerit Buseli posteritas: ne illorum quidem vllius nomen habet. Nam vnde est Macartati nomen? à materna familia, Adoptatus enim in familiam Macartati Prospaltij, auunculi sui, & illam etiam habet familiam. Atque ita iniurius est vt nato sibi filio, eum etiam in Hagniæ familiam introducere sit oblitus: idque cum Hagniæ hæreditatem teneat, & eius se gentilem esse profiteatur: sed eum filium Macartato auunculo adoptandum dedit, in Prospaltium municipium: Hagnianam autem familiam, quantum in se fuit extingui passus est: qui idem dicit, patrem suum Hagniæ fuisse agnatum. Cum autem Solonis lex iu- C beat, mares & à maribus procreatos, potiores haberi: iste adeò expeditè & leges, & Hagniam contempsit, vt filium suum in maternam familiam adoptandum dederit. Quî fieri possint homines istis iniquiores, aut violentiores? Neque verò hoc solum commiserunt: sed cum Buselidæ omnes commune monumentum habeant, idque monumentum Buselidarum nominetur, amplum spacium circumseptum, vt antiqui solebant: in eo monumento, cæteri omnes orti à Buselo, siti sunt, Hagnias, Eubulides, Polemo, & reliqui omnes, tãta multitudo: vniuersi denique orti à Buselo id monumentum commune habent. Macartati autem pater, eiusdémque auus, eo monumento vsi non sunt: sed ipsi priuatim sibi monumentum fecerunt procul à Buselidarum monumento. Num videntur vobis, Iudices, quicquam ad Hagniæ familiam attinere: nisi quatenus ea, quæ nihil ad ipsos attinent, erepta occuparunt? sed vtrum intereat Hagniæ familia & Eubulidæ, Hagniæ patruelis, eorum etiam nomine abolito; eius rei cura nec minima illis vnquam fuit. Ego autem, Iudices, opitulor equidem, quantum possum maximè, defunctis illis: sed non omnino, facilè est, istius apparatibus aduersari. Trado igitur, Iudices, vobis hunc puerum ita curandum, vt vobis æquissimũ videbitur. Hic adoptatus est in familiam Eubulidæ, &

introductus ad Curiales, non meos sed Eubulidæ, Hagniæ, & Macartati: & cum introduceretur, cæteri Curiales clam suffragia ferebant. Macartatus autem aperto suffragio decernebat, rectè introduci filium Eubulidæ puerum hunc, cùm victimam tangere nollet, aut ab ara abducere, séque reddendæ rationi reddere obnoxium: sed & parte carnium à puero hoc accepta, vt & alij Curiales, abiit. Existimate igitur, Iudices, puerũ hunc ante vos iacere supplicem pro defunctis Hagnia & Eubulide, & cæteris ab Hagnia oriũdis: atque illos ipsos vobis supplicare, Iudices, ne sua familia extinguatur ab immanibus istis belluis: quæ cum sint è Stratiana familia, & Hagniana fuerunt nunquam: neque permittatis istis tenere aliena: sed ea restituere cogatis in Hagnianam familiam, cognatis Hagniæ. Ego igitur & illis opitulor defunctis, & legibus hisce de rebus latis. Vos autem oro, Iudices, obsecro & obtestor, ne vel puero huic insultari patiamini ab istis, vel maiores eius magis etiam despici: qui nunc contempti erunt, si istis obtinuerint quæ volunt. sed leges tuemini, & defunctos curate, ne eorum familia extinguatur. Quæ si feceritis: & quæ æqua sunt, & pro vestra fide, & vobis ipsis vtilia decernetis.

## ARGVMENTVM ORATIONIS ADuersus Leocharem de hæreditate.

Archiada sine liberis defuncto, Leocrates hæreditatem cepit, quòd & cognatus eius esset, & se ab Archiada adoptatum esse diceret: ac ad tempus eam ipse tenuit. Deinde filio suo Leostrato, suo Archiadæ adoptato, familia cedit, & in suam redit, quasi ea res lege liceret. Idem fecit etiam Leostratus: & pro se in Archiadæ familia relicto filio nomine Leocrate ipse in sui naturalis patris familiam rediit. Postremus igitur hic Leocrates Archiadæ adoptatus, orbus decessit: cuius hæreditatem adiit Aristodemus, asserens se genere proximum esse Archiadæ, cuius ab initio illa fuerit: & propter illum Leocrati postremo adoptiuorum. Leochares autem defuncti frater de hæreditate contendens, in primis ille quidem adoptione nititur, vt filius Leocratis adoptiuus: sed tamen etiam se Archiadæ cognatum esse asserit. Is verò qui Aristodemum defendit, generis propinquitatem Aristodemo dare hæreditatem: adoptionem autem commenticiam esse affirmat. Neque enim viuens, inquit, Leocrates sibi Leocharem adoptauit, vt leges præcipiunt: sed sub eius obitum, vt nos bonis fraudaremur, contra leges facta est adoptio. Orationem habet Aristodemi filius.

## DEMOSTHENIS ADVERSVS LEOCHAREM DE hæreditate Oratio, Hieronymo Vvolfio interprete.

Commendatio sui, cũ insectatione mẽdacii aduersariorum.

CVLPA Leocharis fit, Iudices, vt & ipse in ius vocetur, & ego adolescens apud vos verba faciam: quòd eas hæreditates capere studet, quæ nihil ad ipsum attinent, & propter eas falsò apud prætorẽ testificatus est. Nobis enim necesse fuit, cũ lex genere proximis propinquitatis ius tribuat, vt Archiadæ cognatis, qui ab initio hęreditatem reliquit: cauere, ne eius familia extingueretur: vel hæreditas ad eos deuolueretur, ad quos

A φράτορας, οὐκ εἰς τοὺς ἐμοὺς, ἀλλ' εἰς τοὺς Εὐβουλίδου, καὶ Ἁγνίου, καὶ Μακαρτάτου τουτουΐ. καὶ ὅτε εἰσήγετο, οἱ μὲν ἄλλοι φράτορες κρύβδην ἔφερον τὴν ψῆφον. οὑτοσὶ δὲ Μακάρτατος φανερᾷ τῇ ψήφῳ ἐψηφίσατο ὀρθῶς εἰσάγεσθαι Εὐβουλίδῃ υἱὸν τὸν παῖδα τουτονὶ, οὐκ ἐθελήσας ἅψασθαι τοῦ ἱερείου, οὐδ' ἀπαγαγεῖν ἀπὸ τοῦ βωμοῦ, ὑπεύθυνον αὑτὸν ποιήσας· ἀλλὰ καὶ τὴν μερίδα τῶν κρεῶν ᾤχετο λαβὼν παρὰ τοῦ παιδὸς τουτουΐ, ὥσπερ καὶ οἱ ἄλλοι φράτορες. νομίζετε δὴ τὸν παῖδα τοῦτον, ὦ ἄνδρες δικασταὶ, ἱκετηρίαν ὑμῖν προκεῖσθαι περὶ τῶν τετελευτηκότων, Ἁγνίου καὶ Εὐβουλίδου, καὶ τῶν ἄλλων τῶν ἀπὸ τοῦ Ἁγνίου, καὶ ἱκετεύειν αὐτοὺς ὑμᾶς τοὺς δικαστὰς, ὅπως μὴ ἐξερημωθήσεται αὐτῶν ὁ οἶκος ὑπὸ τῶν μιαρῶν τούτων θηρίων, οἵ εἰσιν ἐκ τοῦ Στρατίου οἴκου, ἐκ δὲ τοῦ Ἁγνίου οὐδὲ πώποτ' ἐγένοντο. μηδ' ἐπιτρέψητε τούτοις ἔχειν τὰ μὴ προσήκοντα, ἀλλ' ἀποδοῦναι ἀναγκάζετε εἰς τὸν Ἁγνίου οἶκον τοῖς προσήκουσι τοῖς Ἁγνίου. B ἐγὼ μὲν οὖν ἐκείνοις τε βοηθῶ τοῖς τετελευτηκόσι, καὶ τοῖς νόμοις, τοῖς περὶ τούτων κειμένοις. δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταὶ, καὶ ἱκετεύω, καὶ ἀντιβολῶ, μὴ περιίδητε, μήτε τὸν παῖδα τουτονὶ ὑβρισθέντα ὑπὸ τούτων, μήτε τοὺς προγόνους τοὺς τούτου ἔτι μᾶλλον καταφρονηθέντας, οἳ νῦν καταπεφρόνηνται, ἐὰν διαπράξωνται οὗτοι ἃ βούλονται. ἀλλὰ τοῖς τε νόμοις βοηθεῖτε, καὶ τῶν τετελευτηκότων ἐπιμελεῖσθε, ὅπως μὴ ἐξερημωθῇ αὐτῶν ὁ οἶκος. καὶ ταῦτα ποιοῦντες, τά τε δίκαια ψηφιεῖσθε, καὶ τὰ εὔορκα, καὶ τὰ ὑμῖν αὐτοῖς συμφέροντα.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΛΕΩχάρην περὶ τοῦ κλήρου λόγου·

Ἀρχιάδου τελευτήσαντος ἄπαιδος, Λεωκράτης κατέσχε τὸν κλῆρον, συγγενής τε ὢν αὐτοῦ, καὶ εἰσπεποιῆσθαι λέγων ὑπὸ Ἀρχιάδου. καὶ μέχρι μέν τινος αὐτὸς κατεῖχεν. ἔπειτα τὸν υἱὸν τὸν ἑαυτοῦ Λεώστρατον εἰσποιήσας ἀνθ' αὑτοῦ τῷ Ἀρχιάδῃ, ἐξίσταται τοῦ οἴκου, καὶ εἰς τὸν οἰκεῖον ἀνεχώρησεν, ὡς ἄδειαν δεδωκότος * τούτῳ τοῦ νόμου. ἐποίησε δὲ * τοῦτο ὁ Λεώστρατος, καὶ ἀνθ' αὑτοῦ καταλιπὼν ἐν τῷ οἴκῳ τοῦ Ἀρχιάδου παῖδα Λεωκράτην καλούμενον, ἐπανῆλθεν αὐτὸς εἰς τὴν C οἰκίαν τὴν τοῦ φύσει πατρός. ὁ μὲν δὴ Λεωκράτης, ὁ τελευταῖος εἰσποιηθεὶς τῷ Ἀρχιάδῃ, τέθνηκεν ἄπαις. προσεληλυθε δὲ τῷ κλήρῳ Ἀριστόδημος, λέγων ἐγγυτάτω τοῦ γένους εἶναι τῷ Ἀρχιάδῃ, οὗπερ ἦν ὁ κλῆρος ἐξ ἀρχῆς, καὶ δι' ἐκεῖνον, τῷ Λεωκράτει, τῷ τελευταίῳ τῶν εἰσποιηθέντων. Λεωχάρης δὲ ὁ ἀδελφὸς τοῦ τεθνηκότος ἀμφισβητεῖ τοῦ κλήρου, τὸ μὲν ὅλον ἰσχυριζόμενος ποιήσει, ὡς υἱὸς ποιητὸς ὢν τοῦ Λεωκράτους. φάσκων δὲ εἶναι καὶ συγγενὴς Ἀρχιάδου. ὁ δὲ ὑπὲρ Ἀριστοδήμου λέγων, ἐπιδείκνυσι τὴν μὲν τοῦ γένους ἀγχιστείαν Ἀριστοδήμῳ διδοῦσαν τὸν κλῆρον, τὴν δὲ ποίησιν * παραπλησίαν οὖσαν· οὐ γὰρ ζῶν φησὶν ὁ Λεωκράτης ἐποιήσατο παῖδα τὸν Λεωχάρη, καθάπερ οἱ νόμοι κελεύουσιν, ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν, ἐπ' ἀποστερήσει τῆς οὐσίας παρὰ τοὺς νόμους ἡ εἰσποίησις γίνεται. λέγει δὲ τὸν λόγον ὁ τοῦ Ἀριστοδήμου υἱός.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΡΟΣ ΛΕΩΧΑΡΗΝ περὶ κλήρου λόγος.

ΑΙΤΙΟΣ μέν ἐστι Λεωχάρης οὑτοσὶ, ὦ ἄνδρες δικασταὶ, τοῦ δὲ αὐτὸν κρίνεσθαι, καὶ ἐμὲ νεώτερον ὄντα λέγειν ἐν ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσήκει αὐτῷ, καὶ ὑπὲρ τούτων ψευδῆ διαμαρτυρίαν πρὸς τῷ ἄρχοντι ποιησάμενος. ἡμῖν μὲν γὰρ ἀναγκαῖον ἦν, τοῦ νόμου τὰς ἀγχιστείας ἐγγυτάτω γένους ἀποδιδόντος, οὖσιν οἰκείοις Ἀρχιάδου, τοῦ ἐξ ἀρχῆς καταλιπόντος τὸν κλῆρον, μήτε τὸν οἶκον ἐξερημωθέντα τὸν ἐκείνου περιιδεῖν, μήτε τὴν οὐσίαν ἑτέρους κληρονομήσαντας, οἷς οὐδ' ὁπωσοῦν προσήκει.